πτοντας, ὅπερ εἶναι τῶν ἀρχόντων καὶ ἱερέων, καὶ πλαγιαζόντων τὸν οἶκον τοῦ Ἰσραὴλ, κατὰ τὰς καρδίας αὐτῶν τὰς ἀπαλλοτριωμένας, ἐν τοῖς ἐπιθυμήμασιν αὐτῶν. Καὶ σιωπῶ λέγειν· ὅσα περὶ τῶν βοσκόντων ἑαυτοὺς,[11] διαλέγεται, τὸ γάλα κατεσθιόντων, καὶ τὰ ἔρια περιβαλλομένων, καὶ τὸ παχὺ σφαζόντων· ἀλλὰ μὴ ποιμαινόντων τὰ πρόβατα, τὸ ἠσθενηκὸς οὐκ ἐνισχυόντων, καὶ τὸ συντετριμμένον οὐ καταδεσμούντων, καὶ τὸ πλανώμενον οὐκ ἐπιστρεφόντων, καὶ τὸ ἀπολωλὸς οὐκ ἐκζητούντων, καὶ τὸ ἰσχυρὸν οὐ φυλαττόντων, ἀλλὰ μόχθῳ κατεργαζομένων, καὶ κατὰ σπουδὴν ἀπολλύντων· ὡς διεσπάρθαι τὰ πρόβατα κατὰ παντὸς πεδίου καὶ ὄρους παρὰ τὸ μὴ εἶναι ποιμένας, καὶ γενέσθαι κατάβρωμα πᾶσι πετεινοῖς καὶ θηρίοις, οὐκ ὄντος τοῦ ἐκζητοῦντος καὶ ἐπιστρέφοντος· εἶτα τί; »Ζῶ ἐγὼ,[12] φησὶ, λέγει Κύριος, »ἀντὶ τοῦ ταῦτα[13] οὕτως ἔχειν καὶ γενέσθαι τὰ πρόβατά μου εἰς »προνομήν. Ἰδοὺ ἐγὼ ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζητήσω τὰ »πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν·« καὶ τὰ μὲν συνάξω καὶ περιποιήσομαι· οἱ δὲ τὰ καὶ τὰ πείσονται,[14] ἃ τοὺς κακοὺς ποιμένας εἰκός.

§ 31. Ἀλλ' ἵνα μὴ τὰ πάντων καὶ πάντας ἀπαριθμούμενος τοὺς προφήτας μακρὸν ἀποτείνω λόγον· ἑνὸς ἐπιμνησθεὶς ἔτι, τοῦ πρὸ τῆς πλάσεως,[2] ἐγνωσμένου, καὶ ἐκ μήτρας ἡγιασμένου, Ἱερεμίας οὗτος, τοὺς λοιποὺς ὑπερβήσομαι. Ζητεῖ μὲν οὗτος ὑπὲρ κεφαλῆς[3] ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς πηγὴν δακρύων, ἵνα κλαύσῃ πρὸς ἀξίαν τὸν Ἰσραήλ· ὀδύρεται οὐχ ἧττον καὶ τῶν προεστώτων τὴν μοχθηρίαν, λέγει δὲ αὐτῷ διελεγχόμενος πρὸς τοὺς ἱερεῖς ὁ Θεός. »Οἱ ἱερεῖς[4] οὐκ εἶπαν, ποῦ ἐστι· Κύριος· καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου μου, οὐκ ἠπίσταντό με· καὶ οἱ ποιμένες,[5] ἠσέβουν »εἰς ἐμέ. Λέγει δὲ αὐτὸς πάλιν Ποιμένες ἠφρονήσαντο, καὶ τὸν »Κύριον οὐκ ἐξεζήτησαν, καὶ διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, »καὶ διεσκορπίσθησαν· Ποιμένες τε, φησὶ, πολλοὶ[6] διέφθειραν τὸν

---

σματα τούτων κρύπτοντες ἐπαλείφουσι. — 11. Ἑαυτούς.) «Ὦ ποιμένες Ἰσραὴλ, »μὴ βόσκουσι ποιμένες ἑαυτοὺς, οὐ τὰ »πρόβατα βόσκουσιν οἱ ποιμένες. Ἰδοὺ »τὸ γάλα κατεσθίετε, καὶ τὰ ἔρια περιβάλλεσθε.» Ἰεζεκιὴλ. λδ΄. 2. 3. — 12. Ζῶ ἐγώ.) Ὁ αὐτ. αὐτόθ. 8. — 13. Ἀντὶ τοῦ ταῦτα.) Ἀνθ' ὧν φησὶ ταῦθ' οὕτως ἔχει καὶ γίνεται. Ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπὶ τοὺς ποιμένας. — 14. Τὰ καὶ τὰ πείσονται.) Ἐξάξω αὐτοὺς ἐκ τῶν ἐθνῶν καὶ τλ. ὁ αὐτ. λδ΄. 13.

§ 31. 2. Τοῦ πρὸ τῆς πλάσεως.) Ἐγένετο λόγος Κυρίου πρὸς Ἱερεμίαν. »Πρὸ τοῦ με »πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε καὶ πρὸ »τοῦ σὲ ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε »προφήτην εἰς ἔθνη τέθηκά σε.« Ἱερ. ά. 4. 5. — 3. Ὑπὲρ κεφαλῆς.) »Τίς δώσει »κεφαλῇ μου ὕδωρ, καὶ ὀφθαλμοῖς μου »πηγὴν δακρύων· καὶ κλαύσομαι τὸν »λαόν μου ἡμέρας καὶ νυκτός;« ὁ αὐτ. θ΄. — 4. Οἱ ἱερεῖς.) Ἱερεμ. β΄. 8. — 5. Ποιμένες.) Ὁ αὐτ. ἰ. 21. — 6. Ποιμένες . . . πολλοί.) Ὁ αὐτ. ιϛ΄. 10.

ΙΩΑΝΝΙΝΑ 2006

»ἀμπελῶνά μου, ἐμόλυναν τὴν καρδίαν μου, τὴν οὖσαν ἐπιθυμη»τὴν, δεδόσθαι εἰς τὴν ἔρημον ἄβατον. Εἶτα πρὸς αὐτοὺς πάλιν »ἀποτείνεται τοὺς ποιμένας· Ὦ! οἱ ποιμένες[7] οἱ ἀπολλύντες καὶ »διασκορπίζοντες τὰ πρόβατα τῆς νομῆς μου. Διὰ τοῦτο τάδε »λέγει Κύριος, ἐπὶ τοὺς ποιμαίνοντας τὸν λαόν μου. Ὑμεῖς »διεσκορπίσατε τὰ πρόβατά μου, καὶ ἐξώσατε αὐτὰ, καὶ οὐκ »ἐπεσκέψασθε αὐτά. Ἰδοὺ ἐγὼ ἐκδικῶ ἐφ' ὑμᾶς κατὰ τὰ πονηρὰ »ἐπιτηδεύματα ὑμῶν.« Ἀλαλάζειν τε βούλεται τοὺς ποιμένας,[8] καὶ κόπτεσθαι τοὺς κριοὺς τῶν προβάτων διότι ἐπληρώθησαν αἱ ἡμέραι αὐτῶν εἰς σφαγήν.

§ 32. Καὶ τί μοι τὰ παλαιὰ λέγειν; Τίς δὲ τοῖς Παύλου κανόσι καὶ ὅροις ἑαυτὸν παρεκτείνων, οὓς περὶ ἐπισκόπων καὶ πρεσβυτέρων ἔταξε·[2] νηφαλίους, σώφρονας εἶναι, μὴ παροίνους, μὴ πλήκτας, διδακτικοὺς, ἀλήπτους ἐν πᾶσι, καὶ ἀνεπάφους τοῖς πονηροῖς, οὐ πολὺ τὸ διαφεῦγον εὑρήσει τὴν τῶν κανόνων εὐθύτητα; Τί δαί; ἃ τοῖς μαθηταῖς Ἰησοῦς,[3] ἐπὶ τὸ κήρυγμα πέμπων νομοθετεῖ; Ὧν τὸ κεφάλαιον, ἵνα μὴ τὰ καθέκαστον λέγω, τοιούτους εἶναι τὴν ἀρετὴν, καὶ οὕτως εὐσταλεῖς καὶ μετρίους, καὶ εἰ δεῖ συντόμως εἰπεῖν, οὐρανίους· ὥστε οὐχ ἧττον[4] διὰ τὸν τρόπον αὐτῶν, ἢ διὰ τὸν λόγων τρέχειν τὸ Εὐαγγέλιον· Ἐμὲ δὲ φοβοῦσι καὶ ὀνειδιζόμενοι Φαρισαῖοι,[5] καὶ γραμματεῖς ἐλεγχόμενοι· ὧν αἰσχρὸν, εἰ πολὺ περιεῖναι δέον τὴν ἀρετὴν, ὡς διατετάγμεθα, εἴ τι δεοίμεθα τῆς τῶν οὐρανῶν βασιλείας, καὶ τὴν κακίαν φαινόμεθα

— 7. Ὦ! οἱ ποιμένες.) Ὁ αὐτ. κγ΄. — 8. Ἀλαλάζειν... τοὺς ποιμένας.) Τοὺς ἱερεῖς λέγει κόπτεσθαι καὶ θρηνεῖν· Κριοὺς δὲ ἢ τοὺς αὐτοὺς, ἢ τοὺς ἄρχοντας καὶ ἡγεμόνας τοῦ λαοῦ. Ὅρα Ἱερ. κέ. 34.

§ 32. 2. Ἔταξε.) Τιμ. Α΄. γ΄. »Δεῖ »τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς »γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, »κόσμιον, φιλόξενον, διδακτικόν· μὴ »πάροινον, μὴ πλήκτην, μὴ αἰσχρο»κερδῆ, ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάρ»γυρον, τοῦ ἰδίου οἴκου καλῶς προϊστά»μενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ »πάσης σεμνότητος· εἰ δέ τις τοῦ ἰδίου »οἴκου προστῆναι οὐκ οἶδε, πῶς Ἐκκλη»σίας Θεοῦ ἐπιμελήσεται; μὴ νεόφυ»τον· ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα πέσῃ »τοῦ διαβόλου. Περὶ δὲ τῶν πρεσβυ»τέρων ὁμοίως λέγει. Τιτ. α. 5. Τού»του χάριν κατέλιπόν σε ἐν Κρήτῃ, »ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ »καταστήσῃς κατὰ τὴν πόλιν πρεσβυ»τέρους ὡς ἐγώ σε διεταξάμην. Εἴ τις »ἐστὶν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ »τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγο»γορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα. Δεῖ »γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι »ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ »ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ »αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλάγα»θον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρα»τῆ ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν »πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ πα»ρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαι»νούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.« Τούτους ἀληθεῖς ἡμῖν κανόνας δίδωσι Παῦλος περὶ τῶν ἀληθῶς λειτουργῶν τοῦ Θεοῦ· Σὺ δέ μοι σημείωσαι ὅτι οὐδεμίαν διαφορὰν ποιεῖται πρεσβυτέρου, καὶ ἐπισκόπου. — 3. Ἰησοῦς.) Ματθ. ί. 5. — 4. Οὐχ ἧττον.) Ἀλλὰ πλεῖον δηλ. διὰ τοῦ βίου τὸ ἐπεξειργασμένον καὶ θαυμαστὸν παρὰ τὸν λόγον καὶ τὴν σοφίαν τρέχειν καὶ κατευοδοῦσθαι τὸ κήρυγμα. — 5. Ὀνειδιζόμενοι Φαρισαῖοι.) Ματθ. κγ΄. 13.

ΙΩΑΝΝΙΝΑ 2006

χείρους.· Ὥστε καὶ ὄφεις ἂν εἰκότως ἀκοῦσαι, καὶ γεννήματα ἐχιδνῶν, καὶ ὁδηγοὶ τυφλοί, τὸν κώνωπα διϋλίζοντες, καὶ τὴν κάμηλον καταπίνοντες, καὶ τάφοι ῥυπαροὶ τὰ ἔνδον, μετ᾽ εὐπρεπείας τὴν ἔξωθεν, καὶ παροψίδες καθαραὶ τὸ φαινόμενον, καὶ τἄλλα ὅσα ἐκεῖνοι καί εἰσι καὶ ἀκούουσι.

§ 33. Τούτοις ἐγὼ σύνειμι νύκτωρ καὶ μεθ᾽ ἡμέραν τοῖς λογισμοῖς. Ταῦτα μου τὸν μυελὸν ἐκτήκει, καὶ δαπανᾷ τὰς σάρκας, καὶ οὐκ ἐᾷ θρασὺν εἶναι, οὐδὲ πορεύεσθαι ἄνω βλέποντα. Ταῦτά μου ταπεινοῖ τὴν ψυχὴν, καὶ τὸν νοῦν συστέλλει, καὶ τῇ γλώσσῃ δεσμὸν ἐπιτίθησι, καὶ οὐ περὶ προστασίας εἶναι ποιεῖ τὸν λόγον, οὐδὲ τοῦ κατορθοῦν ἄλλους καὶ διευθύνειν, ὃ πολλῆς ἐστι τῆς περιουσίας· ἀλλ᾽ ὅπως ἂν αὐτὸς τὴν ἐρχομένην ὀργὴν διαφύγοιμι, καὶ μικρόν τι τοῦ ἰοῦ τῆς κακίας ἐμαυτὸν ἀποξέσαιμι. Καθαρθῆναι δεῖ πρῶτον, εἶτα καθᾶραι· σοφισθῆναι, καὶ οὕτω σοφίσαι· γενέσθαι φῶς, καὶ φωτίσαι· ἐγγύσαι Θεῷ, καὶ προσαγαγεῖν ἄλλους· ἁγιασθῆναι καὶ ἁγιάσαι· χειραγωγῆσαι μετὰ χειρῶν, συμβουλεῦσαι μετὰ συνέσεως. Πότε οὖν ἔσται ταῦτα; φασὶν οἱ ταχεῖς τὰ πάντα[2] καὶ οὐκ ἀσφαλεῖς· οἱ ῥᾳδίως οἰκοδομοῦντες καὶ καταλύοντες. Καὶ πηνίκα ὁ λύχνος[3] ἐπὶ τὴν λυχνίαν; καὶ ποῦ τὸ τάλαντον; Οὕτω τὸ χάρισμα λέγοντες· Ταῦτα οἱ θερμοὶ τὴν φιλίαν ἢ τὴν εὐλάβειαν. Πότε ταῦτα, καὶ τίς ὁ ἐμὸς λόγος, ὦ γενναιότατοι, οὐ μικρὰ προθεσμία, οὐδὲ γῆρας τὸ ἔσχατον· κρείσσων γὰρ πολιὰ μετὰ φρονήσεως, ἀπαιδεύτου νεότητος, καὶ λελογισμένη βραδυτὴς, τάχους ἀπερισκέπτου, καὶ ὀλιγοχρόνιος βασιλεία, μακρᾶς τυραννίδος· ὡς καὶ ὀλίγη μερὶς τιμία, πολλῆς κτήσεως ἀτίμου καὶ σφαλερᾶς, καὶ χρυσὸς ὀλίγος, μολύβδου πολυταλάντου, καὶ πολλοῦ σκότους, ὀλίγον φῶς. Τὸ δὲ ταχὺ[4] τοῦτο καὶ σφαλερὸν καὶ λίαν κατεσπουδασμένον, μὴ τοῖς σπέρμασιν ἐκείνοις ἐοικὸς ᾖ, ἃ κατὰ τῶν πετρῶν πεσόντα, καὶ διὰ τὸ μὴ ἔχειν βάθος γῆς εὐθὺς ἀνακύψαντα, οὐδὲ τὴν πρώτην ἤνεγκε τοῦ ἡλίου θερμότητα· ἢ τὸ κατὰ τῆς ψάμμου,[5] τεθέντι θεμελίῳ, μηδὲ ὀλίγον ἀντισχόντι πρὸς τὴν βροχὴν καὶ τὰ πνεύματα. «Οὐαί σοι πόλις,[6] ἧς ὁ βασιλεύς σου νεώτερός ἐστι, φησὶ Σολομών.[7] Καὶ μὴ ἴσθι »ταχὺς ἐν λόγοις, τοῦ αὐτοῦ Σολομῶντος φωνή· πρᾶγμά τι ἔλαττον[8] λέγοντος τὸ περὶ λόγον τάχος τῆς περὶ πρᾶξιν θερμότητος.

§ 33. 2. Οἱ ταχεῖς τὰ πάντα.) Οἱ ταχὺ καὶ ἀπερισκέπτως φάσκοντες. — 3. Ὁ λύχνος) Ματθ. ε΄. 15. — 4. Τὸ δὲ ταχύ.) Ὥσπερ τὰ σπέρματα τὰ κατὰ πετρῶν θᾶττον ἀνακυψάμενα καὶ ταχὺ μαραινόμενα. Ματθ. ιγ΄. 5. — 5. Ἢ τῷ κατὰ τῆς ψάμμου.) Ματθ. ζ΄. 26. — 6. Οὐαί σοι πόλις.) Σολομ. Ἐκκλησ. ι΄. 16. — 7. Σολομών.) Ἐκκλησ. ε΄. 1. — 8. Πρᾶγμά τι ἔλαττον.) Σολομὼν προτρέπει λέγων ταχὺς μὴ ἐν λόγοις ἴσθι· σφαλερὸν γὰρ τὸ τάχος· πλὴν ἔλαττόν τι πρᾶγμα ἐστι τὸ ἐν λόγοις τάχος τῆς περὶ πρᾶξιν θερμότητος καὶ

Ε.Υ.Α. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

§ 34. Καὶ τίς ἐστι παρὰ ταῦτα, ὁ τὸ τάχος ἀπαιτῶν πρὸ τῆς ἀσφαλείας καὶ τοῦ συμφέροντος; Τίς ὁ πλάτων, καθάπερ αὐθημερὸν τοὺς πηλίνους, τὸν τῆς ἀληθείας προστάτην, τὸν μετὰ ἀγγέλλων στησόμενον, καὶ μετὰ ἀρχαγγέλων δοξάσοντα; καὶ ἐπὶ τὸ ἄνω θυσιαστήριον ἀναπέμψοντα τὰς θυσίας, καὶ Χριστῷ συνιερεύσοντα, τὸν ἀναπλάσοντα τὸ πλάσμα, καὶ παραστήσοντα τὴν εἰκόνα, καὶ τῷ ἄνω κόσμῳ δημιουργήσοντα, καὶ τὸ μεῖζον εἰπεῖν, Θεὸν ἐσόμενον[2] καὶ θεοποιήσοντα; Οἶδα τίνος ἐσμὲν λειτουργοί, καὶ ποῦ κείμενοι, καὶ ποῦ πέμποντες. Οἶδα τοῦ Θεοῦ τὸ ὕψος, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ τὴν δύναμιν πάλιν. »Οὐ»ρανὸς ὑψηλός,[3] γῆ βαθεῖα·« καὶ τίς ἀναβήσεται τῶν ἐῤῥιμμένων τῇ ἁμαρτίᾳ; τίς περικείμενος ἔτι τὸν κάτω ζόφον, καὶ τῆς σαρκὸς τὴν παχύτητα, ὅλῳ νοῒ καθαρῶς ἐποπτεύσει νοῦν ὅλον, καὶ μιγήσεται τοῖς ἑστῶσι καὶ ἀοράτοις, ἐν τοῖς ἀστάτοις καὶ ὁρωμένοις; Μόλις γὰρ ἄν τις ἐνταῦθα τῶν σφόδρα κεκαθαρμένων, κἂν εἴδωλον τοῦ καλοῦ θεωρήσειεν, ὥσπερ οἱ τὸν ἥλιον ἐν τοῖς ὕδασι. »Τίς ὁ μετρήσας τῇ χειρὶ[4] τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπι»θαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; Τίς ἔστησε τὰ ὄρη σταθμῷ, »καὶ τὰς νάπας ζυγῷ. Τίς τόπος τῆς καταπαύσεως αὐτοῦ, καὶ »τίνι τῶν πάντων ὁμοιωθήσεται;« Τίς ὁ ποιήσας τὰ πάντα[5] ἐν λόγῳ, καὶ τῇ σοφίᾳ κατασκευάσας ἄνθρωπον, καὶ εἰς ἓν ἀγαγὼν τὰ διεστῶτα, καὶ μίξας τὸν χοῦν τῷ πνεύματι,[6] καὶ συνθεὶς ζῶον ὁρατὸν καὶ ἀόρατον, πρόσκαιρον καὶ ἀθάνατον, ἐπίγειον καὶ οὐράνιον, ἁπτόμενον Θεοῦ,[7] καὶ οὐ περιδρασσόμενον, ἐγγίζον καὶ μακρυνόμενον; »Εἶπα, σοφισθήσομαι, φησὶν ὁ Σολομών, καὶ αὐτὴ »ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν, ὑπὲρ ὃ ἦν· τὴν σοφίαν λέγων.« Καὶ ὄντως ὁ προστιθεὶς[8] γνῶσιν προστίθησιν ἄλγημα· οὐ μᾶλλον εὐφραίνοντος τοῦ εὑρεθέντος, ἢ ἀνιόντος τοῦ διαφεύγοντος. Ὅπερ, οἶμαι, φιλεῖ συμβαίνειν τοῖς ἔτι διψῶσιν, ἀποσπωμένοις ὕδατος, ἢ κρατεῖν τι οὐ δυναμένοις, ἔχειν νομίζουσιν, ἢ οὓς ἀπῆλθεν εὐθὺς ἀστραπὴ περιλάμψασα.

---

ταχύτητος· εἰ γὰρ ἡ πρᾶξις ἐνεργεστέρα λόγου καὶ ἐκδηλοτέρα καὶ κατὰ ταύτην δήπου ἰσχυρότερον τοῦ κατὰ τὸν λόγον.

§ 34. 2. Θεὸν ἐσόμενον) Τὸν ἱερέα φησίν, ὃν καὶ συνιερεύσειν Χριστῷ εἶπε· καὶ τὸ πλάσμα ἀναπλάσσειν τῷ βαπτίσματι· Θεὸς οὖν ὁ ἱερεὺς ὡς Χριστὸν τῷ βαπτίσματι ἐνδυσάμενος καὶ χρισθεὶς θείῳ πνεύματι — 3. Οὐρανὸς ὑψηλός) Παροιμ. κέ. 3. — 4. Ὁ μετρήσας τῇ χειρί) Ἐκ τῶν καθ' ἡμᾶς γνωστῶν μέτρων ἔφη. Οὐδὲ γὰρ ἂν ἔχοιμεν ἄλλως τι περὶ Θεοῦ λεγόμενον ἐννοεῖν· σημαίνει δὲ τὰ ἡμῖν ἄγνωστα καὶ δυσχερῆ καὶ ἀμέτρητα, Θεὸς ὥσπερ σπιθαμῇ καὶ δρακὶ μετρᾷ· Ἡσαΐας μ'. 12. — 5. Ὁ ποιήσας τὰ πάντα.) Ἐκ τῶν Σολομῶντος· Σοφ. θ'. α, 2. — 6. Τὸν χοῦν τῷ πνεύματι.) Τὸ σῶμα δηλ. τῇ ψυχῇ· χοῦν γὰρ λαβὼν ἐκ τῆς γῆς ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, καὶ ἐνεφύσησεν αὐτῷ πνεῦμα ζωῆς· Γενέσ. β'. 7. — 7. Ἁπτόμενον Θεοῦ.) Σολομῶν, εἶπον, φησί, σοφισθήσομαι, καὶ αὐτὴ ἀπέστη ἀπ' ἐμοῦ· Ἐκκλ. ζ'. 23. — 8. Προστιθείς.) Ὡς φησὶ Σολομ. Ἐκκλ. ά. 18.

§ 35. Τοῦτό με ἵστη κάτω, καὶ ταπεινὸν ἐποίει, καὶ εἶναι βέλτιον ἔπειθεν ἀκούειν φωνὴν αἰνέσεως, ἢ ἐξηγητὴν εἶναι τῶν ὑπὲρ δύναμιν· ἡ μεγαλειότης, καὶ τὸ ὕψος, καὶ τὸ ἀξίωμα, καὶ αἱ καθαραὶ φύσεις, μόλις χωροῦσαι Θεοῦ λαμπρότητα. Ὃν ἄβυσσος καλύπτει, οὗ σκότος ἀποκρυφὴ φωτὸς[2] ὄντος τοῦ καθαρωτάτου καὶ ἀπροσίτου τοῖς πλείοσιν· ὃς ἐν τῷ παντὶ τῷδε, καὶ τοῦ παντὸς ἐστιν ἔξω· ὃς καλὸν ἐστιν ἅπαν, καὶ ἄνω παντὸς καλοῦ· ὃς νοῦν φωτίζει, καὶ φυγαδεύει νοῦ τάχος καὶ ὕψος· ἀποχωρῶν ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται· καὶ ὑπάγων πρὸς τὰ ἄνω τὸν ἐραστὴν, τῷ φεύγειν, καὶ τῷ οἷον κρατούμενος[3] κλέπτεσθαι. Τοσοῦτον μὲν δὴ καὶ τοιοῦτον ἡμῖν τὸ ποθούμενον, καὶ σπουδαζόμενον. Τοιοῦτον δὲ εἶναι χρὴ τὸν νυμφαγωγὸν τῶν ψυχῶν καὶ προμνήστορα.

§ 36. Ἔμοιγε μὴν δέος, μὴ καὶ τοῦ νυμφῶνος[2] ἔξω ῥιφῶ, δεθεὶς χεῖρας καὶ πόδας, ὡς οὐκ ἐνδεδυμένος ἔνδυμα γάμου· ἀλλὰ τολμηρῶς παρενείρας ἐμαυτὸν τοῖς ἐκεῖσε ἀνακειμένοις. Καίτοι προεκλήθην μὲν ἐκ νεότητος, ἵν᾽ εἴπω τι καὶ τῶν τοῖς πολλοῖς ἀγνοουμένων, καὶ ἐπ᾽ αὐτὸν ἐπεῤῥίφην ἐκ μήτρας, καὶ ἐδόθην δοτὸς[3] ἐκ μητρικῆς ὑποσχέσεως, καὶ μετὰ τοῦτο τοῖς κινδύνοις ἐβεβαιώθην. Καὶ ὁ πόθος συνηυξήθη, καὶ ὁ λογισμὸς συνέδραμε, καὶ πάντα ἔδωκα φέρων[4] τῷ λαχόντι καὶ σώσαντι, κτῆσιν, περιφάνειαν, εὐεξίαν, τοὺς λόγους αὐτούς. Ὧν τοῦτο ἀπήλαυσα[5] μόνον τὸ παριδεῖν καὶ ἐσχηκέναι, ὧν Χριστὸν προετίμησα. Καὶ ἡδύνθη μοι τὰ τοῦ Θεοῦ λόγια ὡς κηρία μέλιτος,[6] καὶ τὴν σύνεσιν ἐπεκαλεσάμην, καὶ τῇ σοφίᾳ ἔδωκα φωνήν μου. Καὶ τἄλλα δὴ ταῦτα, οἷον θυμὸν μετρῆσαι, καὶ γλῶσσαν χαλινῶσαι, καὶ ὀφθαλμὸν σωφρονίσαι, καὶ γαστέρα παιδαγωγῆσαι, καὶ δόξαν πατῆσαι τὴν κάτω μένουσαν. Παραφρονῶν[7] λέγω, ἀλλ᾽ οὖν εἰρήσεται.

---

§ 35. 2 Ἀποκρυφὴ φωτός.) Φωτίζει γὰρ τὸν νοῦν ἡμῶν, καὶ ἀποφεύγει πάλιν πρὸς ὕψος ἀνάγων τὸν ὀξυνοποῦντα καὶ πρόθυμον ἐραστήν. — 3 Οἷον κρατούμενος.) Κατ᾽ ὀνομαστικὴν διὰ τὴν ταὐτοπροσωπίαν.

§ 36. 2. Τοῦ νυμφῶνος.) Ματθ. κβ΄. 12. 13. ἔνθα παραβολὴν ἐξηγεῖται ἀνθρώπου σὺν τοῖς λοιποῖς ἀνακειμένου, μὴ ἔχοντος ἔνδυμα γάμου· ὃν καὶ ὁ Κύριος ἐξέβαλε, ἐμβαλὼν εἰς τὸ σκότος τὸ ἐξώτερον. Πολλοὶ γάρ εἰσι, φησί, κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. — 3. Ἐδόθην δοτός.) Τὴν ἐκ νεότητος αὐτοῦ κατάστασιν λέγει· ἵνα τῶν ἀέργων καὶ ῥαθύμων τὸν ἄλογον τῆς ψυχῆς νυσταγμὸν ἐκτινάξῃ, καὶ τῶν σπουδαίων τοὺς εὐδοκίμους εἰς ἐπίδοσιν καὶ παροξυσμὸν ἀρετῆς ἐγείρῃ. Σχολ. Βασιλ. Ἡ δέ τοι ἔκφρασις γραφική. Δοτὸν γὰρ ηὔξατο δοῦναι τὸ τεχθὲν τῷ Κυρίῳ Ἄννα ἡ τοῦ Σαμουὴλ μήτηρ. Βασιλ. Α΄. α. 11. — 4. Ἔδωκα φέρων.) Ἡ Φέρων, καίτοι παρέλκουσα κειμένη, ὅμως προστίθησί τι τοῦ ἑαυτῆς σημαινομένου [illegible] — 5. Ὧν τοῦτο ἀπήλαυσα.) Τὸ [illegible] καὶ ἐσχηκέναι· πρωθυστέρως ἀντὶ τοῦ, Ἐσχηκέναι καὶ παριδεῖν· ἔχων γάρ τίς τι παρορᾶν ἔχει. — 6. Ὡς κηρία μέλιτος.) Παροιμ. ις΄. 24. Ψαλμ. ιη΄, 11. ριη΄, 103. — 7. Παραφρονῶν.) Ἔκφρασις τοῦ Παύλου ὁπότε τι λέγει καυχώμενος. Κορινθ. Β.

Ταῦτα μέν[8] οὐ τῶν πολλῶν ἴσως ἐγενόμην φαυλότερος. Τοῦτο δὲ φιλοσοφῆσαι,[9] κρεῖττον ἢ καθ' ἡμᾶς, δέξασθαι ψυχῶν ἡγεμονίαν καὶ προστασίαν, καὶ μήπω μηδὲ ποιμαίνεσθαι καλῶς μαθόντας ἡμᾶς, μηδὲ καθαρθέντας τὴν ψυχὴν ὅσον ἄξιον.

§ 37. Ἔπειτα ποίμνης ἐπιστατεῖν πιστευθῆναι, καὶ ταῦτα ἐν καιροῖς τοιούτοις, ἐν οἷς ἀγαπητὸν ὁρῶντα τοὺς ἄλλους ἄνω καὶ κάτω φερομένους τε καὶ ταρασσομένους, φυγόντα φυγῇ ἐκ τοῦ μέσου, ὑπὸ σκέπην ἀναχωρήσαντα, λαθεῖν τοῦ πονηροῦ τὴν ζάλην καὶ τὴν σκοτόμαιναν. Ἡνίκα πολεμεῖ μὲν ἀλλήλοις τὰ μέλη,[2] οἴχεται δὲ τῆς ἀγάπης, εἰ καί τι ἦν λείψανον· ὄνομα δὲ κενόν[3] ἄλλως ὁ ἱερεύς· ἐκχυθείσης ἐπ' ἄρχοντας ἐξουδενώσεως, ὥσπερ εἴρηται. Καὶ εἴθε κενόν.[4] Νυνὶ δέ, τρέποιτο εἰς κεφαλὰς ἀθέων ἡ βλασφημία! Φόβος δὲ ἅπας ἐξώρισται τῶν ψυχῶν, ἀντεισῆκται δὲ ἀναίδεια· τοῦ βουλομένου[5] δὲ ἡ γνῶσις καὶ τὰ βάθη τοῦ πνεύματος. Πάντες δὲ ἐσμὲν εὐσεβεῖς ἐξ ἑνὸς μόνου τοῦ καταγινώσκειν ἄλλων ἀσέβειαν. Χρώμεθα δὲ δικασταῖς τοῖς ἀθέοις,[6] καὶ ῥιπτοῦμεν[7] τὰ ἅγια τοῖς κυσί, καὶ βάλλομεν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, βεβήλοις ἀκοαῖς καὶ ψυχαῖς τὰ θεῖα δημοσιεύοντες καὶ τὰς τῶν ἐχθρῶν εὐχὰς ἐπιμελῶς ἐκπληροῦμεν οἱ δείλαιοι, καὶ πορνεύοντες ἐν τοῖς ἐπιτηδεύμασιν ἡμῶν, οὐκ αἰσχυνόμεθα. Μωαβῖται δὲ καὶ Ἀμμανῖται, οἷς οὐδὲ ἐξῆν παριέναι εἰς Ἐκκλησίαν Κυρίου, τοῖς ἁγιωτάτοις ἡμῶν ἐμβατεύουσιν. Ἠνοίξαμεν δὲ πᾶσιν οὐ πύλας δικαιοσύνης, ἀλλὰ θύρας λοιδορίας τε καὶ τῆς κατ' ἀλλήλων θρασύτητος. Καὶ οὗτος ἄριστος ἡμῖν οὐχ ὃς μηδὲ ῥῆμα[8] πρόηται ἀργὸν φόβῳ Θεοῦ, ἀλλ' ὃς ἂν τύχῃ πλεῖστα τὸν πλησίον εἰπὼν κακῶς, ἢ διαῤῥήδην, ἢ ἐν αἰνίγμασι καὶ ὑπὸ τὴν γλῶσσαν αὐτοῦ στρέφων κόπον καὶ πόνον· ἢ ἰὸν ἀσπίδων, εἰπεῖν οἰκειότερον. Θηροῦμεν δὲ τὰς ἀλλήλων ἁμαρτίας οὐχ ἵνα θρηνήσωμεν, ἀλλ' ἵνα ὀνειδίσωμεν· οὐχ ἵνα θεραπεύσωμεν,

---

ιά. 22, 23. — 8. Ταῦτα μέν.) Κατὰ ταῦτα. — 9. Φιλοσοφῆσαι.) Φημὶ φιλοσοφῆσαι τοῦτο, ὅτι κρεῖττόν ἐστιν ἢ καθ' ἡμᾶς τὸ δέξασθαι καὶ τλ.

§ 37. 2. Τὰ μέλη.) Τῆς Ἐκκλησίας δηλ. τὰ μὲν αἱρέσεσι· τὰ δὲ κενοδοξίαις, τίς τίνος ἐπαρχίας ἀναδειχθείη ἐπίσκοπος. — 3. Ὄνομα δὲ κενόν.) Ὄνομα διάκενον καὶ κοῦφον καὶ οὐδὲν λογιζόμενον καὶ ἄλλως. — 4. Καὶ εἴθε κενόν.) Οὕτω γὰρ ἂν οὐδὲν ἦν τὸ βλασφημούμενον, εἰς ἀνύπαρκτον τῆς βλασφημίας χωρούσης· νῦν δὲ ὑπάρχον καὶ φαινόμενον ὑβρίζεται τὸ ἀνύβριστον καὶ βλασφημεῖται· εἰς δὲ κεφαλὴν ἀσεβῶν, ἀλλ' οὐκ εὐσεβούντων, τρέποιτο ἡ βλασφημία· Βασ. Σχολ. — 5. Τοῦ βουλομένου.) Ἑκάστου δηλ. ὅς τις βούλεται. — 6. Δικασταῖς τοῖς ἀθέοις.) Διαμαχομένων περὶ θεολογίας καὶ πίστεως Χριστιανῶν δικασταὶ ἐγίνοντο Ἕλληνες. Μέχρι γὰρ τότε πολιτευόμενοι, καὶ ἐδίκαζον Ἕλληνες· Ἕλληνας δὲ ἀπὸ θρησκείας, οὐκ ἀπὸ γένους ἐνταῦθα ἐννοητέον. — 7. Καὶ ῥιπτοῦμεν.) Ῥίπτω, καὶ ῥιπτέω, πτῶ· ἔστι δὲ ἀπὸ τῶν ἐν Εὐαγγελίοις, τοῦ Κυρίου λέγοντος· Μὴ δότε τὰ ἅγια τοῖς κυσί, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· Ματθ. ζ', 6. — 8. Ὃς μηδὲ ῥῆμα.) Ὡς λόγον ἀποδώσων περὶ τούτου κατὰ τὴν ἐντο-

ἀλλ' ἵνα προσπλήξωμεν· καὶ ἀπολογίαν ἔχομεν τῶν ἡμετέρων κακῶν τὰ τῶν πλησίον τραύματα. Κακοὺς δὲ καὶ ἀγαθοὺς οὐχ ὁ τρόπος, ἀλλ' ἡ διάστασις καὶ ἡ φιλία χαρακτηρίζει. Καὶ ἃ σήμερον ἐπαινοῦμεν, αὔριον ἐκακίσαμεν·[9] καὶ ἃ παρ' ἄλλοις στηλιτεύεται, παρ' ἡμῖν θαυμάζεται, καὶ πάντα συγχωρεῖται προθύμως τῷ ἀσεβεῖν.[10] Οὕτω δὴ κακίαν ἐσμὲν μεγαλόψυχοι!

§ 38. Γέγονε δὲ τὰ πάντα[2] ὡς τὸ ἀπαρχῆς, ὅτε οὔπω κόσμος ἦν· οὐδὲ ἡ νῦν εὐεξία καὶ μόρφωσις, ἀλλὰ συγκεχυμένον τὸ πᾶν, καὶ ἀνώμαλον, ἐδεῖτο τῆς εἰδοποιοῦ χειρὸς καὶ δυνάμεως. Εἰ βούλει δὲ, ὡς ἐν νυκτομαχίᾳ καὶ σελήνης ἀμυδροῖς φέγγεσιν ἐχθρῶν ἢ φίλων ὄψεις οὐ διαγινώσκοντες.[3] Ἢ ὡς ἐν ναυμαχίᾳ καὶ ζάλῃ καὶ πνευμάτων ἐμβολαῖς, καὶ ῥοθίῳ ζέοντι, καὶ κυμάτων ἐπιδρομαῖς, καὶ νηῶν ἀραγμοῖς, καὶ κοντῶν ὠθισμοῖς, καὶ κελευστῶν φωναῖς, καὶ πιπτόντων οἰμωγαῖς, ὑπερηχούμενοί τε καὶ ἀπορούμενοι, καὶ τῆς ἀνδρείας καιρὸν οὐκ ἔχοντες, φεῦ τοῦ πάθους! ἀλλήλοις περιπίπτομεν, καὶ ὑπ' ἀλλήλων ἀναλισκόμεθα.

§ 39. Καὶ οὐχ ὁ λαὸς μὲν οὕτως· ὁ δὲ ἱερεὺς ἑτέρως. Ἀλλά μοι νῦν ἐκεῖνο πληροῦσθαι δοκεῖ καθαρῶς· τὸ, Γέγονεν ὁ ἱερεὺς[2] καθὼς ὁ λαός· ἐν κατάρᾳ πάλαι λεγόμενον. Καὶ οὐχ οἱ πολλοὶ μὲν οὕτως· οἱ δὲ ἁδροὶ τοῦ λαοῦ, ὡς εἴρηται, καὶ προέχοντες ἐναντίως. Ἀλλ' οὗτοί[3] γε καὶ φανερῶς πολεμοῦσι τοῖς ἱερεῦσιν ἐφόδιον ἔχοντες εἰς πειθὼ τὴν εὐσέβειαν. Καὶ ὅσοι μὲν περὶ πίστεως τοῦτο πασχόντων,[4] καὶ τῶν ἀνωτάτω ζητημάτων καὶ πρώτων, οὐδὲ ἐγὼ μέμφομαι· ἀλλ' εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ προσεπαινῶ, καὶ συνήδομαι, καὶ τούτων εἷς εἴην, τῶν ὑπὲρ ἀληθείας ἀγωνιζομένων καὶ ἀπεχθανομένων, μᾶλλον δὲ καὶ εἶναι καυχήσομαι. Κρείσσων γὰρ ἐπαινετὸς πόλεμος, εἰρήνης χωριζούσης Θεοῦ. Καὶ

---

λὴν τοῦ Κυρίου· Ματθ. ε. 18. — 9. Ἐκακίσαμεν.) Ἀντὶ κακίζομεν, ἀντιχρονισμός. — 10. Προθύμως τῷ ἀσεβεῖν.) Βασίλειος δὲ ὁ Σχολιάζων οὕτως ἔχει καὶ πάντα συγχωρεῖται μόνῳ τῷ ἀσεβεῖν· ἐπιφέρων ἐξήγησιν· Μόνης τῆς ἀσεβείας ὑποκειμένης καὶ μενούσης ἀσυγχωρήτου, τἄλλα πάντα τῶν ἡμαρτημένων συγχωρεῖται τοῖς συνυπαγομένοις τοῖς ἀσεβέσι· κἂν τὰ ἔσχατά τις εἴη πεπλημμεληκώς. Ἐκ δὲ τοῦ κειμένου ὧδέ πως ἔχει. Προκειμένης ὑποθέσεως ὅτι ἀσεβήσει τις, πάντα συγχωρεῖται αὐτῷ τἄλλα προθύμως, ἵνα μὴ τοῦτο γένηται.

§ 38. 2. Γέγονε δὲ τὰ πάντα.) Καθάπερ ἦν δηλ. πρὸ τῆς Χριστοῦ ἐλεύσεως ὅτε οὐκ εὐταξία ἦν, οὐ μόρφωσις Χριστιανισμοῦ· οὐκ εὐταξία μυστηρίων Θεοῦ· οὐ κόσμος ἀληθινός· Βασιλ. Σχολ. — 3. Οὐ διαγινώσκοντες.) Ἀλλήλοις περιπίπτομεν, καὶ ὑπ' ἀλλήλων ἀναλισκόμεθα.

39. 2. Γέγονεν ὁ ἱερεύς.) Ἡσαΐ. κδ΄. 2. Καὶ ἔσται ὁ λαὸς ὡς ἱερεύς. — 3. Ἀλλ' οὗτοι.) Οἱ προεστῶτες δηλ. τοῦ λαοῦ καὶ προέχοντες. — 4. Τοῦτο πασχόντων.) Καὶ ὅσοι εἰσὶ τῶν πασχόντων τοῦτο τὸ πολεμεῖν τοῖς ἱερεῦσι περὶ πίστεως, καὶ περὶ τῶν ἀνωτάτω ζητημάτων, καὶ πρώτων, Περὶ Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος δηλ. καὶ τῶν ἰδιωτήτων αὐτῶν, τούτους οὐδὲ

ΙΩΑΝΝΙΝΑ 2006

διὰ τοῦτο τὸν πραῢν[5] μαχητὴν ὁπλίζει τὸ πνεῦμα, ὡς καλῶς πολεμεῖν δυνάμενον. Νῦν δὲ εἰσί τινες, οἳ καὶ περὶ μικρῶν πολεμοῦντες, καὶ εἰς οὐδὲν ὄφελος, καὶ κοινωνούς, ὅσους ἂν δύνωνται, τοῦ κακοῦ προσλαμβάνοντες, λίαν ἀμαθῶς καὶ θρασέως. Εἶτα ἐπὶ πᾶσιν ἡ πίστις·[6] καὶ τοῦτο τὸ σεμνὸν ὄνομα ταῖς ἰδίαις αὐτῶν φιλονεικίαις παρασυρόμενον. Ἐκ δὲ τούτων, ὡς τὸ εἰκός, μισούμεθα μὲν ἐν τοῖς ἔθνεσι, καὶ ὃ τούτου χαλεπώτερον, οὐδὲ εἰπεῖν ἔχομεν, ὡς οὐ δικαίως. Διαβεβλήμεθα δὲ καὶ τῶν ἡμετέρων τοῖς ἐπιεικεστέροις. Οὐδὲν γὰρ θαυμαστόν, εἰ τοῖς πλείοσιν,[7] οἳ μόλις ἄν τι καὶ τῶν καλῶν ἀποδέχονται. Τεκταίνουσι[8] δὲ ἐπὶ τῶν νώτων ἡμῶν οἱ ἁμαρτωλοί, καὶ ἃ κατ' ἀλλήλων ἐπινοοῦμεν, κατὰ πάντων ἔχουσι· Καὶ γεγόναμεν θέατρον κοινόν, οὐκ ἀγγέλοις καὶ ἀνθρώποις, οἷον ὁ γενναιότατος τῶν ἀθλητῶν Παῦλος,[9] πρὸς τὰς ἀρχὰς[10] καὶ τὰς ἐξουσίας ἀγωνιζόμενος· ἀλλὰ πᾶσι μικροῦ[11] τοῖς πονηροῖς· καὶ ἐπὶ παντὸς καιροῦ καὶ τόπου, ἐν ἀγοραῖς, ἐν πότοις, ἐν εὐφροσύναις, ἐν πένθεσιν. Ἤδη δὲ προήλθομεν καὶ μέχρι τῆς σκηνῆς·[12] (ὃ μικροῦ δακρύω λέγων) καὶ μετὰ τῶν ἀσελγεστάτων γελώμεθα· καὶ οὐδὲν οὕτω τερπνὸν τῶν ἀκουσμάτων καὶ θεαμάτων, ὡς Χριστιανὸς κωμῳδούμενος.

§ 40. Ταῦτα ἡμῖν[2] ὁ πρὸς ἀλλήλους πόλεμος· Ταῦτα οἱ λίαν ὑπὲρ τοῦ ἀγαθοῦ καὶ πρᾴου[3] μαχόμενοι. Ταῦτα οἱ πλέον ἀγαπῶντες τὸν Θεόν, ἢ ὅσον συμφέρει. Καὶ παλαίειν μὲν οὐκ ἔξεστι ἔξω τῶν νενομισμένων, οὐδὲ ἄλλο τι ἀγωνίζεσθαι, ἢ καταβοήσεται[4] καὶ ἀτιμασθήσεται, καὶ ἀπολεῖ τὴν νίκην ὁ ἐκπαλαίων, ἢ ἄλλο τι μὴ καλῶς ἀγωνιζόμενος, οὐδὲ μετὰ τοὺς κειμένους ὅρους τῆς ἀγωνίας κἂν ὅτι γενναῖος ᾖ καὶ τεχνικώτατος. Ὑπὲρ Χριστοῦ δὲ ἀγωνιεῖταί τις, οὐ κατὰ Χριστόν, ἔπειτα χαριεῖται τῇ εἰρήνῃ, πολεμῶν ὑπὲρ αὐτῆς, ὡς οὐκ ἔξεστιν; Καὶ οἱ μὲν δαίμονες φρίττουσιν εἰσέτι καὶ νῦν Χριστοῦ καλουμένου, καὶ οὐδὲ ὑπὸ τῆς κακίας ἡμῶν ἐξίτηλος γέγονεν ἡ τοῦ ὀνόματος τούτου δύναμις· Ἡμεῖς

---

ἐγὼ καὶ τλ. — 5. Τὸν πραῢν.) Ἰωήλ. γ΄. 11. Ὁ πραῢς ἔστω μαχητής. — 6. Ἐπὶ πᾶσιν ἡ πίστις.) Τῆς εὐσεβείας. — 7. Εἰ τοῖς πλείοσιν.) Διαβεβλήμεθα δηλ. — 8. Τεκταίνουσι.) Γραφικὴ ἡ ἔκφρασις· Ψαλμ. ρκή, 3. — 9. Παῦλος.) Κορινθ. Α΄. δ΄. 9. — 10. Πρὸς τὰς ἀρχάς.) Παῦλ. Ἐφεσ. ς΄. 12. «Ἡμῶν ἡ πάλη, »φησίν, οὐ πρὸς σάρκα καὶ αἷμα, ἀλλὰ »πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας »πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ »αἰῶνος τούτου.» — 11. Πᾶσι μικροῦ.) Ἀλλὰ μικροῦ δεῖν ἀγωνιζόμεθα πᾶσι τοῖς πονηροῖς. — 12. Μέχρι τῆς σκηνῆς.) Τῶν κωμικῶν τὴν σκηνὴν ἐννοητέον, καὶ τῶν μίμων καὶ γελωτοποιῶν· ὃ ἔστι καὶ ἐν τοῖς θεάτροις διακωμῳδούμεθα.

§ 40. 2. Ταῦτα ἡμῖν.) Ποιεῖ ἢ τοιοῦτό τι. — 3. Ὑπὲρ τοῦ ἀγαθοῦ καὶ πρᾴου.) Τοῦ Χριστοῦ δηλ. Ταῦτα δηλ. ποιοῦσιν οἱ ἐκτὸς παντὸς μέτρου ὑπὲρ Χριστοῦ μαχόμενοι· οἱ ζῆλον μὲν πίστεως ἔχοντες, οὐ κατ' ἐπίγνωσιν δὲ τοῦτο μετερχόμενοι. — 4. Ἡ καταβοήσεται.) Ἤ, ἐὰν τοῦτο γένηται, ὁ ἐκπαλαίων, ἢ μὴ καλῶς ἀγωνιζόμενος, ἐκβοήσεται ὑπὸ τοῦ

δὲ οὐκ αἰσχυνόμεθα τὸ σεμνὸν οὕτω καὶ πρᾶγμα καὶ ὄνομα καθυβρίζοντες, καὶ μονονοὺ φανερῶς αὐτοῦ βοῶντος ἀκούοντες, καὶ καθ' ἑκάστην ἡμέραν· (Τὸ γὰρ ὄνομά μου βλασφημεῖται δι' ὑμᾶς ἐν τοῖς ἔθνεσι.) Καὶ τὸν μὲν ἔξωθεν οὐ δεδοίκαμεν πόλεμον, οὐδὲ τὸν νῦν ἐπαναστάντα θῆρα[5] ταῖς Ἐκκλησίαις, καὶ τοῦ πονηροῦ τὸ πλήρωμα, κἂν πῦρ ἀπειλῇ, κἂν ξίφη κἂν θῆρας, κἂν κρημνοὺς, κἂν βάραθρα, κἂν πάντων γένηται τῶν πώποτε, κἂν ταῖς οὔσαις τιμωρίαις προσεξεύρῃ χαλεπωτέρας. Ἓν ἔχω πρὸς πάντα φάρμακον, μίαν ὁδὸν εἰς νίκην, (ἐν Χριστῷ καυχήσομαι:) τὸν ὑπὲρ Χριστοῦ θάνατον.

§ 41. Πρὸς δὲ τὸν ἐμὸν πόλεμον οὐκ ἔχω τίς γένωμαι· τίνα συμμαχίαν ἐξεύρω, τίνα λόγον σοφίας, τί χάρισμα, ποίᾳ πανοπλίᾳ πρὸς τὰς τοῦ πονηροῦ μεθοδίας ὁπλίσομαι; Τίς νικήσει τοῦτον; Μωσῆς, ἐκτείνας τὰς χεῖρας[2] ἐπὶ τοῦ ὄρους, ἵν' ὁ σταυρὸς ἰσχύσῃ τυπούμενος, καὶ προμηνυόμενος· Τίς; Ἰησοῦς μετὰ τοῦτον, τῷ ἀρχιστρατήγῳ τῶν θείων παρατάξεων συμπαρατασσόμενος.[3] Τίς; Δαβὶδ, ἢ ψάλλων, ἢ πολεμῶν[4] ἐν σφενδόναις, καὶ ὑπὸ τοῦ Θεοῦ περιεζωσμένος δύναμιν εἰς πόλεμον, ἢ τοὺς δακτύλους[5] εἰς παράταξιν γυμναζόμενος. Τίς; Σαμουὴλ, καὶ προσευχόμενος τοῦ λαοῦ καὶ προθυόμενος, καὶ χρίων[6] εἰς βασιλέα τὸν νικᾷν δυνάμενον· Τίς θρηνήσει ταῦτα πρὸς ἀξίαν; Ἱερεμίας θρήνους γράφων ὑπὲρ τοῦ Ἰσραήλ. Τίς βοήσεται, Φεῖσαι Κύριε τοῦ λαοῦ σου καὶ μὴ δὸς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτῶν ἔθνη; Τίς περὶ ἡμῶν προσεύξεται; Νῶε, καὶ Ἰὼβ, καὶ Δανιήλ· οἱ συνευχόμενοι καὶ συναριθμούμενοι, ἵνα κοπάσῃ[7] μικρὸν ἡμῖν ὁ πόλεμος,

---

πλήθους, καὶ τλ. — 5. Ἐπαναστάντα θῆρα.) Ἰουλιανόν μοι δοκεῖ λέγειν τὸν ἀποστάτην καὶ παραβάτην κατ' ἐκείνους τοὺς χρόνους ἐν Κωνσταντινουπόλει βασιλεύοντα, καὶ τὴν Ἐκκλησίαν διώκοντα, ἵν' ἐπαναναγάγῃ τὴν εἰδωλολατρείαν· ἢ γοῦν Οὐάλεντα τὸν Ἀρειανόφρονα, πολὺ καὶ αὐτὸν τὴν ὀρθόδοξον Ἐκκλησίαν καταδιώκοντα.

§ 41. 2. Ἐκτείνας τὰς χεῖρας.) Ὄντων τῶν Ἑβραίων ἐν ἐρήμῳ, ἦλθεν Ἀμαλὴκ καὶ ἐπολέμει αὐτοῖς, Μωϋσῆς δὲ πέμψας ἐναντίον αὐτοῦ Ἰησοῦν τοῦ Ναυῆ σὺν ἐπιλέκτοις ἀνδράσιν, καὶ αὐτὸς ἀναβὰς ἐπὶ τὴν κορυφὴν τοῦ βουνοῦ, ἐξέτεινε τὰς χεῖρας· καὶ οὐσῶν μὲν αὐτοῦ τῶν χειρῶν ἐκτεταμένων, ἐνίκα Ἰσραὴλ, ἀνειμένων δὲ, ἐνίκα Ἀμαλήκ· καὶ τοῦτο μέχρις ἡλίου δυσμῶν, ἕως ἐτρέψατο Ἰησοῦς τὸν Ἀμαλήκ· Ἔξοδ. ιζ΄. 8. . . 13. — 3. Συμπαρατασσόμενος.) Ὢν γὰρ ὁ Ἰησοῦς τοῦ Ναυῆ περὶ Ἱεριχὼ, εἶδε τὸν ἀρχιστράτηγον Κυρίου ἐσπασμένην ἔχοντα τὴν ῥομφαίαν· Ἰησ. Ν. ε΄. 13. βοηθοῦντα δηλ. καὶ συμπαρατασσόμενον αὐτῷ εἰς ἅλωσιν τῆς Ἱεριχῶ. — 4. Ἢ ψάλλων, ἢ πολεμῶν.) Ψάλλων μὲν, ὅτε τὸ πονηρὸν πνεῦμα ἐλάμβανε Σαοὺλ τὸν βασιλέα, αὐτὸς τῇ κινύρᾳ ψάλλων, κατεπράϋνεν· Βασιλ. Α΄. ις΄. 23. πολεμῶν δὲ ἐν σφενδόναις, ὅτε τὸν Γολιὰθ γαυριώμενον ἐπὶ τῇ δυνάμει, σφενδονήσας ἀπέκτεινεν· Βασ. Α΄. ιζ΄. 49. — 5. Ἢ τοὺς δακτύλους.) Ψαλμ. ρμδ΄. — 6. Καὶ Χρίων.) Οὗτος γὰρ ἔχρισε Σαοὺλ εἰς βασιλέα, εἶτα Δαβὶδ κατ' ἐπιταγὴν Θεοῦ, ἱερεὺς ὤν. — 7. Φεῖσαι Κύριε. . . . Ἵνα κοπάσῃ.) Ἡ λέξις γραφικὴ ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ· φησὶ γὰρ ἡ γραφή. Γενέσ. η΄. 8. Καὶ ἀπέστειλε Νῶε τὴν περιστερὰν ἰδεῖν, εἰ κεκόπακε

ἵνα γενώμεθα ἡμῶν αὐτῶν, ἵν' ἀλλήλους ποτε γνωρίσωμεν. Ἵνα μηκέτι ὦμεν ἀνθ' ἑνὸς τοῦ Ἰσραὴλ, καὶ Ἰούδας, καὶ Ἰσραήλ·[8] μηκέτι Ῥοβοὰμ καὶ Ἱεροβοὰμ, μηκέτι Ἱερουσαλὴμ καὶ Σαμάρεια, αἱ ἐν μέρει διὰ τὰς ἁμαρτίας παραδιδόμεναι, καὶ ἐν μέρει θρηνούμεναι. Ἐγὼ μὲν γὰρ ἀσθενέστερος εἶναι τοῦ πολέμου τούτου ὁμολογῶ, καὶ διὰ τοῦτο ἔδωκα τὰ νῶτα,[9] καλύψας τὸ πρόσωπον ἐντροπῇ. Καὶ κατὰ μόνας καθεσθῆναι, ὅτι πικρίας ἐνεπλήσθην, ἐξήτησα, καὶ σιωπῆσαι, συνιὼν ὅτι ὁ καιρὸς πονηρός[10] ἐστιν, ὅτι ἀπελάκτησαν οἱ ἠγαπημένοι, ὅτι γεγόναμεν υἱοὶ ἀφεστηκότες, ἡ ἄμπελος ἡ εὐκληματοῦσα, ἡ ἄμπελος ἡ ἀληθινή· πᾶσα καρποφόρος, ὡραία πᾶσα, καλῶς ταῖς σταγόσι ταῖς ἄνωθεν ἀνατέλλουσα, ὅτι εἰσεστρέφη εἰς ἀτιμίαν ἐμοὶ τὸ διάδημα τοῦ ἐμοῦ κάλλους, τὸ ἀποσφράγισμα τῆς ἐμῆς δόξης, ὁ τῆς καυχήσεως στέφανος. Εἰδέ τις[11] πρὸς ταῦτα τολμηρὸς καὶ γενναῖος, μακάριος οὗτος ἐμοὶ τοῦ θάρσους καὶ τῆς γενναιότητος.

§ 42. Καὶ οὔπω λέγω τὸν ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς, τὸν ἐν τοῖς πάθεσι[2] πόλεμον, ὃν πολεμούμεθα νυκτὸς[3] καὶ ἡμέρας ὑπὸ τοῦ τῆς ταπεινώσεως σώματος· τὰ μέν[4] κρύβδην, τὰ δὲ φανερῶς, καὶ τῆς ἄνω[5] καὶ κάτω κυμαινούσης ἡμᾶς καὶ στροβούσης διά τε αἰσθήσεως καὶ τῶν ἄλλων τερπνῶν τοῦ βίου τούτου περιφορᾶς, τοῦ τε πηλοῦ τῆς ἰλύος, ᾧ ἐμπεπήγμεθα, καὶ τοῦ νόμου τῆς ἁμαρτίας ἀντιστρατευομένου τῷ νόμῳ τοῦ πνεύματος, καὶ διαφθείρειν ἐπιχειροῦντος τὴν βασιλικὴν ἐν ἡμῖν εἰκόνα, καὶ ὅσον θείας ἀποῤῥοίας ἡμῖν συγκαταβέβληται. Ὡς μόλις ἄν τις ἑαυτὸν, ἢ μακρᾷ φιλοσοφίᾳ παιδαγωγήσας, καὶ ἀποῤῥηγνὺς κατὰ μικρὸν τῆς ψυχῆς τὸ εὐγενὲς καὶ φωτοειδὲς τοῦ ταπεινοῦ καὶ τῷ σκότῳ συνεζευγμένου, ἢ Θεοῦ τυχὼν ἵλεω, ἢ καὶ ἄμφω ταῦτα,[6] καὶ μελέτην ὅτι μάλιστα ποιούμενος ἄνω βλέπειν, τῆς κατασπώσης ὕλης ἐπικρατήσειε. Πρὶν δὲ ταύτην ὑπερσχεῖν, ὅση δύναμις, καὶ ἀνακαθᾶραι ἱκανῶς τὴν διάνοιαν, ὑπέρ τε τοὺς ἄλλους μακρῷ γενέσθαι τῇ πρὸς Θεὸν ἐγγύτητι, ἢ ψυχῶν προστασίαν δέξασθαι, ἢ μεσιτείαν Θεοῦ καὶ ἀνθρώπων, (τοῦτο γὰρ ἴσως ὁ ἱερεύς·) οὐκ ἀσφαλὲς εἶναι γινώσκω.

§ 43. Καὶ ὅθεν[2] εἰς τοῦτο ὑπήχθην τὸ δέος; Ἵνα μή με τοῦ

---

τὸ ὕδωρ ἀπὸ τῆς γῆς. — 8. Καὶ Ἰούδας καὶ Ἰσραὴλ καὶ τλ.) Βασιλ. Γ'. ιβ'. 16. Παραλειπ. ι. 16. — 9. Ἔδωκα τὰ νῶτα.) Ἔφυγον δηλ. — 10. Ὅτι ὁ καιρὸς πονηρός.) Δευτερονομ. λβ'. 14. 15. — 11. Εἰδέ τις.) Ἀνταποδοτικῶς πρὸς τὸ Ἐγὼ μέν.

§ 42. 2. Τὸν ἐν τοῖς πάθεσι.) Κατ' ἐπεξήγησιν. — 3. Νυκτός.) Κατ' ἔλλειψιν τῆς Διά. — 4. Τὰ μέν.) Κατ' ἄλλα μέν. κατ' ἄλλα δέ. — 5. Καὶ τῆς ἄνω.) Καὶ ὑπὸ τῆς ἄνω . . . περιφορᾶς. — 6. Ἢ καὶ ἄμφω ταῦτα.) Ἐννοεῖται Ἔχων, ἢ τοιοῦτό τι ῥῆμα· πρὸς ὃ ἂν φέροιτο τὸ Ἄμφω ταῦτα, οἰκεῖον ὂν τῇ ἐννοίᾳ.

§ 43. 2. Καὶ ὅθεν.) Κατ' ἐρώτησιν.

δέοντος δειλότερον ὑπολαμβάνητε, ἀλλὰ καὶ σφόδρα ἐπαινῆτε τῆς προμηθείας. Ἀκούω μὲν αὐτοῦ τοῦ Μωϋσέως, ἡνίκα ἐχρημάτιζεν[3] αὐτῷ ὁ Θεός· ὅτι πλειόνων εἰς τὸ ὄρος προσκεκλημένων, ὧν εἷς ἦν καὶ Ἀαρὼν, σὺν τοῖς παισὶ τοῖς δύο[4] τοῖς ἱερεῦσι, καὶ ἑβδομήκοντα τῶν πρεσβυτέρων τῆς γερουσίας, οἱ μὲν λοιποὶ προσκυνῆσαι πόῤῥωθεν ἐκελεύσθησαν· ἐγγίσαι δὲ Μωσῆς μόνος, οὐ συναναβῆναι δὲ ὁ λαὸς, ὡς οὐ πάντων ὄντος,[5] Θεοῦ γενέσθαι πλησίον, πλὴν εἴτις κατὰ Μωσέα Θεοῦ χωρῆσαι δόξαν δυνάμενος. Καὶ ἔτι πρὸ τούτων ἐν ἀρχῇ τῆς νομοθεσίας, τοὺς μὲν ἄλλους σάλπιγγες καὶ ἀστραπαὶ,[6] καὶ βρονταὶ, καὶ γνόφος, καὶ ὅλον καπνιζόμενον τὸ ὄρος, καὶ ἀπειλαὶ φρικώδεις, (κἂν θήριον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται·) καὶ ἄλλα τοιαῦτα δείγματα ἵστη κάτω· καὶ μέγα ἦν αὐτοῖς, μόνης ἀκοῦσαι τῆς τοῦ Θεοῦ φωνῆς εὖ μάλα ἁγνισαμένοις. Μωσῆς δὲ, καὶ ἄνεισι, καὶ τῆς νεφέλης εἴσω χωρεῖ, καὶ νομοθετεῖται, καὶ δέχεται πλάκας, τοῖς μὲν πολλοῖς τὰς τοῦ γράμματος, τοῖς δὲ ὑπὲρ τοὺς πολλοὺς τὰς τοῦ πνεύματος. Ἀκούω δὲ Ναδὰβ, καὶ Ἀβιοὺδ,[7] ὅτι ξένῳ πυρὶ θυμιάσαντες μόνον, ξένῳ καὶ ἀνηλώθησαν κολασθέντες, δι' ὧν ἠσέβησαν, καὶ τὸν αὐτὸν εὑρόντες τῆς ἀπωλείας, ὃν καὶ τῆς ἀσεβείας καιρὸν καὶ τόπον· καὶ οὐδὲ Ἀαρὼν ἤρκεσε πρὸς σωτηρίαν αὐτοῖς ὁ πατὴρ, ὁ Μωσέως παρὰ Θεῷ δεύτερος. Γινώσκω δὲ καὶ Ἠλὶ τὸν ἱερέα, καὶ μικρὸν ὕστερον Ὀζὰν, τὸν μὲν ὑπὲρ τῆς τῶν παίδων[8] παρανομίας ἀπαιτηθέντα δίκην· ἣν ἐτόλμων κατὰ τῶν θυσιῶν, πρὸ καιροῦ τῶν λεβήτων ἀπαρχόμενοι, καὶ ταῦτα οὐκ ἀποδεχόμενον αὐτῶν τὴν ἀσέβειαν, ἀλλὰ πολλὰ πολλάκις ἐπιτιμήσαντα· τὸν δὲ, ὅτι ψαύσας[9] τῆς κιβωτοῦ μόνον περισπασθείσης ὑπὸ τοῦ μόσχου, τὴν μὲν περιεσώσατο, αὐτὸς δὲ ἀπώλετο, φυλάσσοντος τοῦ Θεοῦ τῇ κιβωτῷ τὸ σεβάσμιον. Οἶδα δ' ἔγωγε μηδὲ τοὺς ἐν τοῖς σώμασι μώμους τῶν ἱερέων, ἢ τῶν θυμάτων ἀνεξετάστους μένοντας· ἀλλὰ τελείους

— 3. Ἡνίκα ἐχρημάτιζεν.) Ἔξοδ. κδ΄. ι. 2. — 4. Τοῖς δύο.) Ναδὰβ, καὶ Ἀβιούδ. Ἔξοδ. κδ΄. 1. — 5. Ὡς οὐ πάντων ὄντος.) Ὡς τὸ γενέσθαι πλησίον Θεοῦ οὐ πάντων ὄντος ἰδίου· καὶ κατ' ἀνάλυσιν· Τὸ γὰρ γενέσθαι πλησίον Θεοῦ οὐκ ἔστιν ἴδιον πάντων. — 6. Σάλπιγγες καὶ ἀστραπαί.) Γενομένων τῶν Ἑβραίων πλησίον εἰς τὸ ὄρος Σινὰ, προσέταξεν ὁ Θεὸς ἁγνισθῆναι, καὶ μηδένα ἅψασθαι τοῦ ὄρους, ὅτι ἀποθανεῖται, κἂν ἄνθρωπος εἴη, κἂν κτῆνος, λιθοβοληθήσεται· καὶ οἱ μὲν ἄλλοι ἤκουον τὰς ἀστραπὰς καὶ βροντὰς καὶ σάλπιγγας, καὶ ἑώρων τὴν νεφέλην· Μωσῆς δὲ, καλέσαντος τοῦ Θεοῦ, ἀνέβη εἰς τὴν κορυφὴν τοῦ ὄρους· Ἔξοδ. ιθ΄. — 7. Ναδὰβ, καὶ Ἀβιούδ.) Τοὺς υἱοὺς Ἀαρών· Λευϊτ. ι. 1, 2. — 8. Τῆς τῶν παίδων.) Ὀφνὶ καὶ Φινιές. οὗτοι γὰρ παρηνόμουν πρὸ καιροῦ ἐκ τῶν λεβήτων κρέα λαμβάνοντες ἀπὸ τῶν τῆς θυσίας, Ἠλὶ δὲ ὁ πατὴρ συνεβούλευεν αὐτοῖς, οἱ δ' οὐκ ἤκουον, καὶ τέως αἴροντες τὴν κιβωτὸν τοῦ Κυρίου ἀπέθανον ἐν τῷ κατὰ τῶν ἀλλοφύλων πολέμῳ· Βασιλ. Α΄. β΄. 11. δ΄. 12. — 9. Ὅτι ψαύσας.) Οὔσης τῆς κιβωτοῦ ἐφ' ἁμάξης, ἐπειδὴ μόσχος περισπᾶν αὐτὴν ἔμελλεν, Ὀζᾶ κατέσχεν, ἐπιθεὶς τὴν χεῖρα, καὶ Κύριος ὀργισθεὶς, ἀπέκτεινεν αὐτὸν ἐκεῖ παρὰ

τέλεια προσαγαγεῖν νενομισμένον·[10] σύμβολον οἶμαι τοῦτο τῆς κατὰ ψυχὴν ἀρτιότητος. Μηδὲ στολῆς τῆς ἱερατικῆς, ἢ σκεύους τινὸς τῶν ἁγίων ψαύειν[11] παντὶ θεμιτὸν ἦν· μηδὲ τὰς θυσίας αὐτὰς, ὑφ' ὧν καὶ ὅτε καὶ οὗ μὴ καθῆκον ἦν, ἀναλίσκεσθαι· μηδὲ τὸ ἔλαιον ἀπομιμεῖσθαι τῆς χρίσεως, μηδὲ τὸ θυμίαμα τῆς συνθέσεως, μηδὲ εἰς τὸ ἱερὸν εἰσιέναι, ὅστις ἢ ψυχὴν ἢ σῶμα οὐ καθαρός· μέχρι καὶ τῶν μικροτάτων. Τοσούτου δεῖ εἰς τὰ ἅγια τῶν ἁγίων προσφοιτᾷν θαῤῥοῦντα· ὧν ἑνὶ, καὶ ἅπαξ[12] τοῦ ἐνιαυτοῦ μόνον ἐπιβατὸν ἦν. Τοσούτου δεῖ τὸ καταπέτασμα, ἢ τὸ ἱλαστήριον, ἢ τὴν κιβωτὸν, ἢ τὰ Χερουβὶμ, ἢ προσβλέπειν εἶναι παντὸς, ἢ προσάπτεσθαι.

§ 44. Ταῦτα οὖν εἰδὼς ἐγὼ, καὶ ὅτι μηδεὶς ἄξιος τοῦ μεγάλου καὶ Θεοῦ καὶ θύματος καὶ ἀρχιερέως· ὅστις μὴ πρότερον ἑαυτὸν παρέστησε τῷ Θεῷ θυσίαν ζῶσαν, ἁγίαν, μηδὲ τὴν λογικὴν λατρείαν εὐάρεστον ἀπεδείξατο, μηδὲ ἔθυσε τῷ Θεῷ θυσίαν αἰνέσεως, πνεῦμα συντετριμμένον,[2] ἣν μόνην ὁ πάντα δοὺς ἀπαιτεῖ παρ' ἡμῶν θυσίαν, πῶς ἔμελλον θαῤῥῆσαι προσφέρειν αὐτῷ τὴν ἔξωθεν, τὴν τῶν μεγάλων μυστηρίων ἀντίτυπον; Ἢ πῶς ἱερέως σχῆμα καὶ ὄνομα ὑποδύεσθαι, πρὶν ὁσίοις ἔργοις τελειῶσαι τὰς χεῖρας; πρὶν τὸν ὀφθαλμὸν ἐθίσαι βλέπειν ὑγιῶς τὴν κτίσιν, καὶ εἰς θαῦμα μόνον τοῦ κτίσαντος, ἀλλὰ μὴ ζημίαν τοῦ πλάσαντος; Πρὶν τῇ παιδείᾳ Κυρίου ἱκανῶς ἀνοιγῆναι τὰ ὦτα, καὶ προστεθῆναι μοι ὠτίον μὴ βαρέως ἀκούειν δυνάμενον, ἀλλ' ἐνώτιον[3] χρυσοῦν σαρδίῳ πολυτελεῖ δεθῆναι, λόγον σοφοῦ, εἰς οὖς εὐήκοον. Πρὶν τὸ στόμα, τὰ χείλη, τὴν γλῶσσαν, τὸ μὲν ἀνοιγῆναι[4] καὶ ἑλκῦσαι πνεῦμα, ἢ πλατυνθῆναι καὶ πληρωθῆναι τῷ πνεύματι λαλουμένων μυστηρίων τε καὶ δογμάτων, τὰ δὲ αἰσθήσει θεία, κατὰ τὴν σοφίαν εἰπεῖν,[5] δεθῆναι. Προσθείην δ' ἂν ὅτι καὶ ἐν καιρῷ λυθῆναι, τὴν δὲ, πλησθῆναι ἀγαλλιάσεως, καὶ θείας μελῳ-

---

τὴν κιβωτόν. Βασιλ. Β'. δ'. 7. — 10. Νενομισμένον.) Λευϊτικ. κά. 17. »Πᾶς »ἄνθρωπος, ᾧ ἔστιν ἐν αὐτῷ μῶμος, οὐ »προσελεύσεται· ἄνθρωπος τυφλὸς, ἢ χω»λὸς, ἢ κολοβόῤῥιν, ἢ ὠτότμητος, ἢ ἄν»θρωπος, ᾧ ἂν ᾖ ἐν αὐτῷ σύντριμμα »χειρὸς, ἢ σύντριμμα ποδὸς, ἢ κυρτὸς, »ἢ ἔφηλος, ἢ πτίλος τοὺς ὀφθαλμούς· »ἢ ἄνθρωπος, ᾧ ἂν ᾖ ἐν αὐτῷ ψώρα »ἀγρία, ἢ λειχὴν, ἢ μονόρχις· πᾶς, ᾧ »ἔστιν ἐν αὐτῷ μῶμος ἐκ τοῦ σπέρμα»τος Ἀαρὼν τοῦ ἱερέως, οὐκ ἐγγιεῖ τοῦ »προσενεγκεῖν τὰς θυσίας τῷ Θεῷ· Καὶ »αὐτ. κβ'. 20. Πάντα ὅσα ἂν ἔχῃ μῶ»μον ἐν αὐτῷ οὐ προσάξουσι Κυρίῳ, διό»τι οὐ δεκτὸν ἔσται ὑμῖν . . τυφλὸν, ἢ »συντετριμμένον, ἢ γλωσσότμητον, ἢ μυρ»μηκιῶντα, ἢ ψωριῶντα, ἢ λειχῆνας ἔ»χοντα, οὐ προσάξουσι ταῦτα τῷ Κυρίῳ. »καὶ εἰς κάρπωσιν οὐ δώσετε ἀπ' αὐτῶν »ἐπὶ τὸ θυσιαστήριον τῷ Κυρίῳ.« — 11. Ψαύειν.) Ἀριθμ. ή, 13. 14. ιή, ι. 2. — 12. Ἑνὶ, καὶ ἅπαξ.) Τῷ ἀρχιερεῖ δηλ. Ἔξοδ. λ'. 10. Λευϊτικ. κς'. 2. 34.

§ 44. 2. Πνεῦμα συντετριμμένον.) Δαβιτικὰ ταῦτα Ψαλμ. ν'. 17. — 3. Ἀλλ' ἐνώτιον.) Ὥσπερ φησὶ Σολομὼν ἐν Παροιμ. κέ. 12. — 4. Τὸ μὲν ἀνοιγῆναι.) Δαβιτικόν. Ψαλμ. ιθ'. 131. — 5. Κατὰ τὴν σοφίαν εἰπεῖν.) Παροιμ. Σολομ. ιέ, 7.

θίας γενέσθαι πλῆκτρον ἐξεγειρομένην τῇ δόξῃ, συνεξεγειρομένην ὄρθριον, καὶ μέχρι τοῦ κολληθῆναι[6] τῷ λάρυγγι κάμνουσαν; Πρὶν ἐπὶ πέτραν[7] στῆναι τοὺς πόδας μου καταρτισθέντας ὡς ἐλάφων, καὶ κατευθῆναι[8] μοι τὰ κατὰ Θεὸν διαβήματα, καὶ μὴ παρ' ὀλίγον, μηδ' ὅλως ἐκχεόμενα; Πρὶν ἅπαν μέλος ὅπλον γενέσθαι δικαιοσύνης, καὶ ἀποθέσθαι πᾶσαν[9] νεκρότητα καταποθεῖσαν ὑπὸ τῆς ζωῆς, καὶ ὑποχωρήσασαν τῷ πνεύματι;

§ 45. Τίς μήπω τοῖς ἁγνοῖς καὶ πεπυρωμένοις τοῦ Θεοῦ λόγοις καεὶς τὴν καρδίαν,[2] ἐν τῷ διανοιγῆναι αὐτῷ τὰς γραφάς, μηδὲ ἀπογραψάμενος αὐτὰ τρισσῶς[3] ἐπὶ τὸ πλάτος τῆς καρδίας, ὥστε νοῦν ἔχειν Χριστοῦ, μηδὲ τῶν ἐν τοῖς πολλοῖς ἀποκρύφων καὶ ἀοράτων καὶ σκοτεινῶν θησαυρῶν εἴσω γενόμενος, ὥστε τὸν ἐν αὐτοῖς κατοπτεῦσαι πλοῦτον, καὶ ἄλλους πλουτίζειν δύνασθαι, πνευματικὰ συγκρίνων πνευματικοῖς; Τίς μήπω θεωρήσας, ὡς θεωρεῖν ἄξιον, τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκεψάμενος τὸν ναὸν αὐτοῦ, μᾶλλον δὲ ναὸς γενόμενος Θεοῦ ζῶντος, καὶ ζῶν κατοικητήριον Χριστοῦ ἐν πνεύματι; Τίς μήπω τύπων καὶ ἀληθείας[4] ἐπιγνοὺς συγγένειαν καὶ διάκρισιν, καὶ τῶν μὲν ἀναχωρήσας, τῇ δὲ προσθέμενος, ἵνα τὴν τοῦ γράμματος φυγὼν παλαιότητα, τῇ καινότητι δουλεύσῃ τοῦ πνεύματος, καὶ μεταβῇ καθαρῶς ἐπὶ τὴν χάριν[5] ἀπὸ τοῦ νόμου πληρουμένου πνευματικῶς ἐν τῇ καταργήσει τοῦ σώματος; Τίς μήπω διὰ πασῶν ὁδεύσας τῶν τοῦ Χριστοῦ προσηγοριῶν καὶ δυνάμεων καὶ ἔργῳ καὶ θεωρίᾳ τῶν τε ὑψηλοτέρων καὶ πρώτων, καὶ τῶν δι' ἡμᾶς ταπεινοτέρων καὶ τελευταίων, τοῦ Θεοῦ, τοῦ υἱοῦ, τῆς εἰκόνος, τοῦ λόγου, τῆς σοφίας, τῆς ἀληθείας, τοῦ φωτός, τῆς ζωῆς, τῆς δυνάμεως, τῆς ἀτμίδος, τῆς ἀποῤῥοίας, τοῦ ἀπαυγάσματος, τοῦ ποιητοῦ, τοῦ βασιλέως, τῆς κεφαλῆς, τοῦ νόμου, τῆς ὁδοῦ, τῆς θύρας, τοῦ θεμελίου, τῆς πέτρας, τοῦ μαργαρίτου, τῆς εἰρήνης, τῆς δικαιοσύνης, τοῦ ἁγιασμοῦ, τῆς ἀπολυτρώσεως, τοῦ ἀνθρώπου, τοῦ δούλου, τοῦ ποιμένος, τοῦ

— 6. Τοῦ κολληθῆναι.) Δαβιτικὸν τοῦτο· Ψαλμ. κά. 15. — 7. Ἐπὶ πέτραν.) Ψαλμ. ΙΖ'. 8. λθ', 2. καὶ ιζ', 34. κέ, 5 — 8. Καὶ κατευθῆναι.) Δαβιτικόν. Ψαλ. ριά. 133. — 9. Ἀποθέσθαι πᾶσαν.) Παῦλ. Ἐφεσ. δ', 22. 23. 24.

§ 45. 2. Καεὶς τὴν καρδίαν.) Ταῦτα δὲ ἐκ τοῦ Εὐαγγελίου ἐλήφθη· φανεὶς γὰρ ὁ Ἰησοῦς μετὰ τὴν ἀνάστασιν δυσὶ τῶν μαθητῶν πορευομένοις εἰς Ἐμμαοὺς κώμην τῆς Ἰουδαίας, λαλοῦσι τὰ περὶ αὐτοῦ· καὶ συμπεριπατῶν, διοίνηξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς γραφάς. Λουκ. κδ'. 13. — 3. Τρισσῶς.) Κατὰ γράμμα, ἀναγωγικῶς, καὶ ἀλληγορικῶς· Κατὰ μὲν τὸ γράμμα θεωρουμένου τοῦ κειμένου ὡς ἔχει, αὐταῖς λέξεσιν· Ἀναγωγικῶς δὲ, πρὸς νοῦν ὑψηλότερον καὶ θειότερον ἀναγομένων τῶν λεγομένων· Ἀλληγορικῶς δὲ, ἄλλων λεγομένων καὶ ἄλλων ἐννοουμένων. — 4. Τύπων καὶ ἀληθείας.) Τύποι μὲν ἦσαν τὰ τῆς παλαιᾶς, ἀλήθειαι δὲ τὰ τῆς νέας εἰσὶ διαθήκης· πάντα γὰρ ἐκεῖνα ὡς τύποι πρὸς τὴν ἀλήθειαν ταύτην ἐγίνοντο — 5. Ἐπὶ τὴν χάριν.) Ἐκ τοῦ Εὐαγγελίου ταῦτα. Ὁ νόμος διὰ Μωσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ



Ε.Σ.Δ.Τ.Π. Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀμνοῦ, τοῦ ἀρχιερέως, τοῦ θύματος, τοῦ πρωτοτόκου[6] πρὸ κτίσεως, τοῦ πρωτοτόκου ἐκ τῶν νεκρῶν τῆς ἀναστάσεως; Τίς τούτων τῶν ὀνομάτων τε καὶ πραγμάτων ἐπακούων εἰκῆ, καὶ μήπω κοινωνήσας τῷ λόγῳ, μηδὲ μεταλαβὼν αὐτοῦ, καθ' ὃ τούτων ἕκαστόν ἐστί τε καὶ κέκληται; Τίς μήπω σχολάσας, μηδὲ μαθὼν λαβεῖν Θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἔτι νήπιος ὤν, ἔτι τρεφόμενος γάλακτι, ἔτι τῶν οὐκ ἀριθμουμένων ἐν τῷ Ἰσραὴλ, οὐδὲ καταλεγομένων εἰς Θεοῦ παράταξιν, μήπω τὸν Χριστοῦ σταυρὸν ὡς ἀνὴρ αἴρειν δυνάμενος,[7] μήπω μηδὲ ἄλλο τι μέλος ὢν ἴσως τῶν τιμιωτέρων, ἔπειτα εἰς κεφαλὴν καταστῆναι Χριστοῦ πληρώματος δέξεται χαίρων καὶ προθυμούμενος; Οὐκ ἔμοι γε κριτῇ καὶ συμβούλῳ· Ἀλλ' οὗτος[8] ὁ φόβων μέγιστος· οὗτος κινδύνων ἔσχατος παντὶ τῷ συνιέντι καὶ τοῦ κατορθουμένου τὸ μέγεθος, καὶ τῆς διαμαρτίας τὸν ὄλεθρον.

§ 46. Ἄλλος μὲν οὖν πλείτω[2] κατ' ἐμπορίαν, ἔλεγον, καὶ τὰ μακρὰ διαπεραιούσθω πελάγη, καὶ συμφερέσθω τοῖς ἀνέμοις ἀεὶ καὶ τοῖς κύμασι, μεγάλα καὶ κερδήσων, ἂν οὕτω τύχῃ, καὶ κινδυνεύσων, ὅς τις πλευστικώτατος, ἢ ἐμπορικώτατος. Ἐμοὶ δ' οὖν αἱρετώτερον ἐπὶ γῆς ἀνέχοντι, βραχεῖαν αὔλακα τέμνοντι καὶ γλυκεῖαν, πόῤῥωθεν ἀσπαζομένῳ κέρδη καὶ θάλασσαν, ζῆν οὕτως, ὅπως ἂν δύνωμαι, σὺν ὀλίγῃ καὶ μικρᾷ τῇ μάζῃ, καὶ βίον ἕλκειν ἀσφαλῆ καὶ ἀκύμαντον, ἢ μακρὸν ἀναῤῥιπτεῖν καὶ μέγαν ἐπὶ μεγάλοις κέρδεσι κίνδυνον. Ὑψηλῷ[3] μὲν γὰρ ζημία τὸ μὴ ἐγχειρεῖν μείζοσι, μηδὲ εἰς πλείους διατείνειν τὴν ἀρετὴν, ἀλλ' ἐπὶ μικρῶν ἵστασθαι, οἷον μεγάλῳ φωτὶ μικρὸν οἶκον αὐγάζοντα· ἢ πανοπλίᾳ νεανικῇ σῶμα παιδικὸν περισκέποντα· μικρῷ δὲ ἀσφάλεια μικρὰ φορτίζεσθαι, ἀλλὰ μὴ τοῖς ὑπὲρ δύναμιν ἑαυτὸν ὑποτιθέντα, γέλωτά τε ὀφλισκάνειν ὁμοῦ καὶ προστιθέναι τὸν κίνδυνον. Ὥσπερ γε καὶ πύργον οἰκοδομεῖν οὐκ ἄλλῳ τινὶ προσήκειν, ἢ ὃς ἔχει τὰ πρὸς ἀπαρτισμόν· ὡς ἠκούσαμεν·[4] Ἔχετε τὴν ἀπολογίαν τὴν ὑπὲρ τῆς φυγῆς, καὶ ἴσως οὐ μετρίαν.

---

ἐγένετο· Ἰωάν. ά. 17. — 6. Πρωτοτόκου.) Πρὸ κτίσεως μὲν πρωτότοκος ὁ υἱὸς καὶ λόγος τοῦ Θεοῦ, ὅτι υἱὸς μονογενὴς Θεοῦ πρὸ τῶν αἰώνων γεγεννημένος· τῶν νεκρῶν δὲ πρωτότοκος, ὅτι αὐτὸς πρῶτος ἀναστὰς, οὐκ ἔτι ἀπέθανε, καὶ τὴν μέλλουσαν ἀνάστασιν παρεδήλωσε· καὶ τὴν ἀνθρώπινον φύσιν νεκρωθεῖσαν τῇ ἁμαρτίᾳ ἤγειρε. — 7. Αἴρειν δυνάμενος.) Φησὶ γὰρ ὁ Κύριος· Ὅς τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ματθ. ις'. 24. καὶ Λουκ. ιδ'. 27. — 8. Ἀλλ' οὗτος.) Ἀντὶ Ἀλλὰ τοῦτο ἐστὶ φόβων μέγιστος· Ἀττικῶς δὲ εἴρηται.

§ 46. 2. Πλείτω.) Ἀλληγορικῶς ταῦτα ἀπὸ τῶν κατὰ θάλασσαν ἐμπορευομένων, καὶ πολλὰ κερδαινόντων· καὶ τῶν γεωργῶν ὀλίγα τε φίλα τε· ἐννοεῖ δὲ τοὺς ἐμβαίνοντας θαῤῥαλέως εἰς τὰ θεῖα, καὶ τοὺς δειλοὺς προσελθεῖν τούτοις. — 3. Ὑψηλῷ.) Εἴτις δηλ. ὑψηλὸς κατὰ παιδείαν καὶ ἀρετὴν, τούτῳ ζημία ἐστὶ μεγίστη, ἐὰν μὴ ἐγχειρῇ μείζοσι καὶ τλ. — 4. Ὡς ἠκούσαμεν.) Τοῦ Κυρίου λέγοντος. Λουκ. ιδ'. 28.

§ 47. Ἃ μὲν οὖν με ἀφ' ὑμῶν ἀπήγαγεν, ὦ φίλοι καὶ ἀδελφοί, λυπηρῶς μὲν ἐμοί, καὶ ὑμῖν ἴσως, ἀναγκαίως δ' οὖν, ὡς γοῦν ἐμαυτῷ τότε ἐδόκουν, ταῦτα ἐστίν. Ἐπανήγαγε δὲ μάλιστα μὲν[2] ὁ πρὸς ὑμᾶς πόθος, καὶ τὸ ἀντιποθούντων αἰσθάνεσθαι· οὐδὲν γὰρ οὕτως ἰσχυρὸν πρὸς ἀγάπην, ὡς ἀντιδιδομένη διάθεσις· δεύτερον δὲ ἡ ἐμὴ φροντίς, τὸ ἐμὸν ἔργον, ἡ τῶν ἱερῶν γονέων πολιὰ καὶ ἀσθένεια, ἐπ' ἐμοὶ πλέον ἢ τῷ χρόνῳ καμνόντων, Ἀβραὰμ[3] τοῦ δε τοῦ πατριάρχου τῆς τιμίας ἐμοὶ κεφαλῆς, καὶ μετὰ ἀγγέλων ἀριθμουμένης, καὶ Σάῤῥας τῆς πνευματικῶς ὠδινούσης ἡμᾶς ἐν τῇ διδασκαλίᾳ τῆς πίστεως. Ὧν γενέσθαι βακτηρία τῷ γήρᾳ, καὶ ὑπερείδειν τὴν ἀσθένειαν, τῶν πρώτων εὐχὴν εὐξάμενος,[4] καὶ μέν τοι καὶ πληρώσας ταύτην, ὁπόση δύναμις, ὡς καὶ φιλοσοφίας[5] ὑπεριδεῖν αὐτῆς, τοῦ πάντων ἐμοὶ τιμιωτάτου κτήματος, καὶ ὀνόματος· ἤ, τόγε ἀληθέστερον εἰπεῖν, τὸ μὴ φιλοσοφεῖν δόξαι πρῶτον φιλοσοφήσας·[6] οὐκ ἤνεγκα διαπεσεῖν μοι τὸν μόχθον ἐκ μιᾶς ὑποθέσεως, οὐδὲ καταλυθῆναι τὴν εὐλογίαν, ἣν καὶ κλέψαι τις ἤδη τῶν πάλαι ὁσίων[7] λέγεται, βρώματι τὸν πατέρα καὶ τριχῶν πλάσματι σοφισάμενος, καὶ τὸ καλὸν οὐ καλῶς δι' ἐπιβουλῆς θηρασάμενος. Δύο μὲν δὴ ταῦτα[8] τῆς ἐμῆς ἥττης καὶ ἡμερότητος αἴτια· καὶ ἴσως οὐκ ἄτοπον ἀμφοτέροις ἐκείνους εἶξαι καὶ ὑποχωρῆσαι τοὺς λογισμούς.[9] Ἐπεὶ καὶ τοῦ νικᾶσθαι καιρός, ὥσπερ, οἶμαι, καὶ παντὸς πράγματος, καὶ κρεῖττον ἡττᾶσθαι καλῶς, ἢ νικᾶν ἐπισφαλῶς καὶ ἀθέσμως.

§ 48. Τρίτον δέ, ὃ καὶ μέγιστον, καὶ δὴ τοῦτο εἰπὼν ἔτι, τὰ

---

§ 47. 2. Μάλιστα μέν.) Ἀττικῶς, ἀντὶ Πρῶτον μὲν καὶ κυρίως. — 3. Ἀβραάμ.) Λέγει τὸν πατέρα, καὶ Σάῤῥαν τὴν μητέρα, κατὰ τοὺς πατριάρχας ἐκείνους εἶναι καὶ τοὺς γονεῖς ἑαυτοῦ δηλῶν. — 4. Τῶν πρώτων εὐχὴν εὐξάμενος.) Πρώτη δηλ. ἐστὶν αὕτη, ἣν εὐξάμην εὐχήν· Καὶ τὸ μὲν Εὔχομαι εὐχὴν ὡς ἐπιβατικόν· τὸ δὲ Τῶν πρώτων διαιρετικῶς· ἤτοι μίαν τῶν πρώτων εὐχῶν εὐξάμενος ταύτην τὴν εὐχήν, ἣν καὶ ἐπλήρωσα κατὰ δύναμιν. — 5. Καὶ φιλοσοφίας.) Φιλοσοφίαν ἐνταῦθα λέγει τὸν ἐρημικὸν βίον καὶ ἥσυχον. — 6. Τὸ μὴ φιλοσοφεῖν δόξαι πρῶτον φιλοσοφήσας.) Ἢ δηλ. τοῦτο κατὰ φιλόσοφον ἄνδρα καὶ εὖ φρονοῦντα ἐποίησα, δόξας μὴ φιλοσοφεῖν μηδ' ἀσπάζεσθαι τὸν ἥσυχον καὶ ἀτάραχον ἐν ἐρήμῳ βίον. — 7. Τῶν πάλαι ὁσίων.) Ἔστι δὲ οὗτος Ἰακώβ. Ἀποστείλαντος γὰρ Ἰσαάκ, ἤδη γεγηρακότος, καὶ μηδὲ βλέποντος, τὸν υἱὸν τὸν πρωτότοκον Ἠσαῦ εἰς θήραν, ἵν' ἀγαγόντα αὐτῷ, φαγὼν εὐλογήσῃ αὐτόν, Ῥεβέκκα ἡ μήτηρ Ἰακώβ, γυνὴ Ἰσαάκ, πέμψασα τὸν υἱὸν λαβεῖν πρόβατον ἀπὸ τῶν ποιμνίων, καὶ σφάξασα παρέθετο βρῶμα τῷ Ἰσαάκ, ἐνδύσασα Ἰακὼβ τῷ δέρματι· ἵνα τὰ πάντα φανῇ ὅμοιος Ἠσαῦ, δασὺς γὰρ ἦν· οὕτως οὖν ἐξαπατηθεὶς Ἰσαάκ, ηὐλόγησε τὸν Ἰακώβ, ἀντὶ τοῦ Ἠσαῦ τοῦ πρωτοτόκου· καὶ ἐλθόντα τὸν Ἠσαῦ ἐκ τῆς θήρας, καὶ παραθέντα καὶ αὐτὸν αὐτῷ βρῶμα, εὐλόγησε μὲν δουλεύειν δὲ τῷ ἀδελφῷ Ἰακώβ· Γεν. κζ΄. — 8. Δύο μὲν δὴ ταῦτα.) Ὁ πρὸς ὑμᾶς δηλ. πόθος, καὶ τὸ γηροκομεῖν τοὺς τεκόντας. — 9. Ἐκείνους. εἶξαι καὶ ὑποχωρῆσαι τοὺς λογισμούς.) Τοὺς περὶ τὸν φιλοσοφικὸν βίον, καὶ τὸ ὑψηλὸν καὶ δυσχερὲς τοῦ ἐπαγγέλματος.

λοιπὰ σιωπήσομαι. Ἐμνήσθην ἡμερῶν[2] ἀρχαίων, καὶ πρός τινα τῶν παλαιῶν ἱστοριῶν ἀναδραμών, ἐκεῖθεν εἵλκυσα συμβουλὴν ἐμαυτῷ πρὸς τὰ παρόντα· μὴ γὰρ[3] εἰκῇ ταῦτα συγγεγράφθαι νομίζομεν, μηδὲ ὄχλον ἄλλως εἶναι ῥημάτων τε καὶ πραγμάτων, ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων συγκείμενα, καὶ οἷον ἀκοῆς τι δέλεαρ, μέχρι τῆς ἡδονῆς ἱστάμενον. Ταῦτα μὲν[4] παιζόντων μῦθοι, καὶ Ἕλληνες, οἱ τῆς ἀληθείας ὀλίγα φροντίζοντες, τῷ κομψῷ τῶν πλασμάτων καὶ τῷ λίχνῳ τῶν λέξεων καὶ ἀκοὴν καὶ ψυχὴν γοητεύουσιν. Ἡμεῖς δὲ οἱ καὶ μέχρι τῆς τυχούσης κεραίας[5] καὶ γραμμῆς τοῦ Πνεύματος τὴν ἀκρίβειαν ἕλκοντες, οὔ ποτε δεξόμεθα. Οὐ γὰρ ὅσιον, οὐδὲ τὰς ἐλαχίστας πράξεις εἰκῇ σπουδασθῆναι τοῖς ἀναγράψασι, καὶ μέχρι τοῦ παρόντος μνήμῃ διασωθῆναι. Ἀλλ' ἵνα ἡμεῖς ἔχωμεν ὑπομνήματα καὶ παιδεύματα τῆς τῶν ὁμοίων, εἴποτε συμπέσοι καιρὸς, διασκέψεως. Ὥστε τὰ μὲν φεύγειν, τὰ δὲ αἱρεῖσθαι, οἷον κανόσι τισὶ καὶ τύποις τοῖς προλαβοῦσιν ἑπόμενοι παραδείγμασι. Τίς οὖν ἡ ἱστορία, καὶ πόθεν ἡ συμβουλή; Οὐδὲν γὰρ χεῖρον ἴσως ἀσφαλείας ἕνεκα τῶν πολλῶν διελθεῖν. Ἔφυγε[6] καὶ Ἰωνᾶς ἀπὸ προσώπου τοῦ Θεοῦ· μᾶλλον δὲ φεύγειν ᾤετο· ἀλλὰ κατελήφθη πελάγει, καὶ χειμῶνι, καὶ κλήρῳ, καὶ γαστρὶ κήτους, καὶ τριημέρῳ ταφῇ τύπον ἐχούσῃ μυστηρίου μείζονος. Ἀλλ' ἐκεῖνος μὲν, ἵνα μὴ τὴν σκυθρωπὴν καὶ ἄτοπον ἀγγελίαν ἀγγείλῃ τοῖς Νινευΐταις, καὶ μετὰ τοῦτο ψεύστης ἁλῷ, σωθείσης τῇ μετανοίᾳ τῆς πόλεως· οὐ γὰρ τῇ σωτηρίᾳ τῶν πονηρῶν ἐδυσχέραινεν, ἀλλὰ τὴν διακονίαν τοῦ ψεύδους ᾐσχύνετο· καὶ οἷον ἐζηλοτύπει τῆς προφητείας τὸ ἀξιόπιστον, ὅπερ ἐν αὐτῷ καταλυθῆναι κίνδυνος ἦν, οὐ δυναμένων τῶν πολλῶν συνειδεῖν τῆς τοῦ Θεοῦ περὶ ταῦτα οἰκονομίας τὸ βάθος.

§ 49. Ὡς δὲ ἐγώ τινος ἤκουσα σοφοῦ περὶ ταῦτα ἀνδρὸς, οὐκ ἀτόπως βοηθοῦντος τῷ φαινομένῳ τῆς ἱστορίας ἀτόπῳ, καὶ ἱκανοῦ καταλαβεῖν ἀνδρὸς προφήτου βαθύτητα, οὐδὲ ταῦτα ἦν, ἃ τὸν μακάριον Ἰωνᾶν ἐποίει φυγάδα, καὶ εἰς Ἰόππην ἤγαγε, καὶ ἐξ Ἰόππης ἀνήγαγεν εἰς Θαρσεῖς, πελάγει πιστεύσαντα τὴν ἑαυτοῦ κλοπήν. Οὔτε γὰρ ἀγνοεῖν[2] τοῦ Θεοῦ τὴν ἐπίνοιαν, προφήτην γε ὄντα, εἰκὸς αὐτὸν ἦν, ὅτι διὰ τῆς ἀπειλῆς τὸ μὴ παθεῖν τὰ τῆς

---

§ 48. 2. Ἐμνήσθην ἡμερῶν.) Δαβιτικὸν καὶ τοῦτο· ψαλ. οϛ΄. 5. — 3. Μὴ γάρ.) Τὸ Μὴ πρὸς τὸ ἀπαρέμφατον· οἷον· Νομίζομεν γὰρ μὴ συγγεγράφθαι εἰκῇ. — 4. Ταῦτα μέν.) Ταῦτα γὰρ εἰσὶ μῦθοι παιζόντων, καὶ Ἕλληνες ποιοῦσι. — 5. Κεραίας.) Ματθ. έ 18. — 6. Ἔφυγε.) Πέμψαντος γὰρ τοῦ Θεοῦ Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ εἰς Νηνευὶ κηρύξαι τὴν κακίαν αὐτῶν, αὐτὸς φυγὼν εἰς Ἰόππην, ἔπλεεν εἰς Θαρσεῖς· καὶ ζάλης γενομένης, ἐβλήθη κλήρῳ εἰς τὴν θάλασσαν, καὶ ὑπὸ κήτους κατεπόθη, ἔνθα ἦν τριήμερος, εἶτα ἐξεβλήθη εἰς τὴν ξηράν. Ἰων. κεφ. ά. καὶ β΄.

§ 49. 2. Οὔτε γὰρ ἀγνοεῖν.) Ἐλε-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΕΞΕΡΓΑΣΙΑΣ ... ΙΩΑΝΝΙΝΑ 2006

ἀπειλῆς Νινευΐταις ἐπραγματεύετο κατὰ τὴν μεγάλην αὐτοῦ σοφίαν, καὶ κατὰ τὰ ἀνεξερεύνητα αὐτοῦ κρίματα, καὶ τῶν ὁδῶν αὐτοῦ τὸ ἀνεξιχνίαστόν τε καὶ ἀκατάληπτον· οὔτ', εἴπερ ἠπίστατο μὴ ἀκολουθῆσαι Θεῷ, δι' οὗπερ ἐβούλετο τρόπου, τὴν σωτηρίαν ἐκείνοις μηχανωμένῳ. Τὸ δὲ δὴ καὶ οἴεσθαι, ὡς ἀποκρύψειν ἑαυτὸν τῷ πελάγει ἤλπισεν Ἰωνᾶς, καὶ τὸν μέγαν ὀφθαλμὸν τοῦ Θεοῦ διαλήσεσθαι τῇ φυγῇ, μὴ καὶ παντελῶς ἄτοπον ᾖ καὶ ἀπαίδευτον, καὶ οὐχ ὅπως περὶ προφήτου πιστεύεσθαι δίκαιον, ἀλλ' οὐδὲ περὶ ἄλλου τινὸς τῶν νοῦν ἐχόντων, καὶ μετρίως αἰσθανομένων Θεοῦ, καὶ τῆς ὑπὲρ πάντα δυνάμεως. Ἀλλ' ᾔδει μὲν τοῦτο παντὸς μᾶλλον[3] ὁ Ἰωνᾶς, φησὶν ὁ τὸν λόγον εἰπών· καὶ ἐγὼ πείθομαι εἰς ὅ,τι ἔφερε τοῖς Νινευΐταις τὸ κήρυγμα, καὶ ὅτι τὸν δρασμὸν βουλεύων, τόπον μὲν ἤμειβε, Θεὸν δὲ οὐκ ἔφευγεν· οὐδὲ γὰρ ἄλλος τις ἀνθρώπων, οὐ γῆς ἑαυτὸν κατακρύψας κόλποις,[4] οὐ θαλάσσης βάθεσιν, οὐ στεροῖς κουφισθεὶς, εἴτις ἐπίνοια, καὶ ἀναδραμὼν εἰς ἀέρα, οὐχ ᾅδου τοῖς κατωτάτω[5] προσομιλήσας, οὐ νέφους παχύτητα περιβαλόμενος, οὐκ ἄλλο τῶν ἁπάντων οὐδὲν εἰς ἀσφάλειαν τοῦ δρασμοῦ βουλευσάμενος. Ἀλλὰ τοῦτο μόνον τῶν πάντων ἀφευκτότατόν τε καὶ ἀμαχώτατον· Θεὸς κατασχεῖν, καὶ ὑπὸ χεῖρα λαβεῖν θελήσας, φθάνει τοὺς ταχεῖς, σφάλει τοὺς συνετοὺς, περιτρέπει τοὺς ἰσχυροὺς, συστέλλει τοὺς ὑψηλοὺς, ἡμεροῖ θράσος, πιέζει δύναμιν. Οὐ τοίνυν ἠγνόει τοῦ Θεοῦ τὴν κραταιὰν χεῖρα ὁ τοῖς ἄλλοις[6] ταύτην ἀπειλῶν Ἰωνᾶς, οὐδὲ ὡς φευξόμενος εἰς ἅπαν διενοεῖτο τὸ θεῖον· μὴ τοῦτο πιστεύσωμεν. Ἀλλ' ἐπειδὴ τὴν ἔκπτωσιν ἑώρα τοῦ Ἰσραὴλ, καὶ μεταβαίνουσαν εἰς τὰ ἔθνη τὴν προφητικὴν χάριν ᾐσθάνετο, διὰ τοῦτο ὑποχωρῇ τῷ κηρύγματι καὶ ἀναβάλλεται τὸ ἐπίταγμα, καὶ τὴν κατασκοπὴν τῆς χαρᾶς ἀφεὶς, (τοῦτο γὰρ Ἑβραίοις ἡ Ἰόππη δύναται·) τὸ παλαιὸν ὕψος λέγω καὶ τὸ ἀξίωμα, εἰς τὸ τῆς λύπης ἑαυτὸν ἔῤῥιψε πέλαγος. Καὶ διὰ τοῦτο χειμάζεται, καὶ καθεύδει, καὶ ναυαγεῖ, καὶ ἐξυπνίζεται, καὶ κληροῦται, καὶ ὁμολογεῖ τὴν φυγὴν, καὶ καταποντίζεται, καὶ ὑπὸ τοῦ κήτους καταπίνεται μὲν, οὐκ ἀναλίσκεται δέ· ἀλλ' ἐκεῖ τὸν Θεὸν ἐπικαλεῖται, καὶ, τὸ θαῦμα! Χριστῷ τριήμερος συνεκδίδοται.

§ 50. Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ἀναμεινάτω μικρὸν ὕστερον, ἣν διδῷ Θεὸς φιλοπονώτερον ἐξεργασθησόμενος. Νῦν δὲ, ὅ μοι λέγειν ὁ λόγος ὡρμήθη, σκοπεῖν ἔπεισί μοι καὶ ὑπολαμβάνειν· ὅτι ἐκείνῳ μὲν, τάχα τι καὶ συγγνώμης ἦν, δι' ἣν εἴπον αἰγεν ἐκεῖνος.

— 3. Παντὸς μᾶλλον.) Ὑπὲρ πᾶν ἄλλο. — 4. Κόλποις.) Κατ' ἔλλειψιν τῆς Ἐν. — 5. Οὐχ' ᾅδου τοῖς κατωτάτω.) Τὸ Ἅδου γενικὴ πρὸς τὸ ἐπίῤῥημα. — 6. Ὁ τοῖς ἄλλοις.) Τοῖς Νινευΐταις· ἐλθὼν γὰρ εἰς Νηνευΐ ἐκήρυξεν, ὅτι ἔτι τρεῖς ἡμέραι, καὶ καταστραφήσεται Νηνευΐ. Ἰων. γ'. 5.

ΙΩΑΝΝΙΝΑ 2006

τίαν, ὀκνοῦντι τὴν προφητείαν· ἐμοὶ δὲ, τίς ἄρα λόγος, ἢ τίς ἀπολογίας ὑπελείπετο τόπος ἐπὶ πλέον ἀφηνιάζοντι,[2] καὶ τὸν, οὐκ οἶδ' εἴτε ἐλαφρὸν,[3] εἴτε βαρὺν εἰπεῖν χρὴ, ἀλλὰ τόν γε τεθέντα ζυγὸν τῆς λειτουργίας ἀναινομένῳ; Εἰ γὰρ ὃ μόνον ἐν τούτοις ἰσχυρόν ἐστιν εἰπεῖν, τοῦτο δοίη τις, ὅτι πολλῷ κατωτέρω κείμεθα τοῦ ἱερατεύειν Θεῷ, καὶ ὅτι τῆς Ἐκκλησίας ἄξιον εἶναι χρὴ πρῶτον, εἶτα τοῦ βήματος· καὶ τούτου πρῶτον, εἶτα τῆς προεδρείας· τάχα ἕτερος ἡμᾶς οὐκ ἀφήσει τοῦ τῆς ἀπειθείας ἐγκλήματος. Δεινὴ δὲ[4] ἀπειθείας ἀπειλὴ, καὶ δεινὰ ταύτης τὰ ἐπιτήμια· ὥσπερ γε καὶ τῆς ἑτέρας μερίδος, μηδὲ ὀκνεῖν, μηδὲ ἀναδύεσθαι, ὥσπερ ὁ Σαοὺλ ἐκεῖνος τοῖς σκεύεσιν[5] ὑποκρύπτεσθαι τοῖς πατρικοῖς, κἂν πρὸς ὀλίγον καλούμενον ἐπὶ προστασίαν. Ἀλλ' ὡς ἐπί τι πρᾶγμα κοῦφον καὶ ῥᾷστον χωρεῖν ἑτοίμως, οὗ μηδὲ μεταθέσθαι ἀσφαλὲς, μηδὲ βουλῇ δευτέρᾳ θεραπεῦσαι τὴν προλαβοῦσαν.

§ 51. Διὰ τοῦτο ἔκαμνον ἐγὼ τοῖς λογισμοῖς τὸ δέον ἀνερευνώμενος, καὶ μέσος δύο φόβων ἱστάμενος τοῦ τε κατασπῶντος καὶ τοῦ ἀνάγοντος.[2] Καὶ ἐπὶ πλεῖστον τούτοις ἐναπορήσας, καὶ ἀμφοτέρωθεν ἐμαυτὸν ταλαντεύσας, ἢ ὥσπερ ῥεῦμα ἀστάτοις πνεύμασι τῇ δὲ κἀκεῖσε μετακλιθεὶς, τέλος ἐγενόμην τοῦ σφοδροτέρου· καί με νικήσας ἔχει παρασύρας ὁ φόβος τῆς ἀπειθείας. Καὶ σκοπεῖτε ὡς ὀρθῶς καὶ δικαίως διαιτῶ[3] τοῖς φόβοις, μήτε τῆς οὐ διδομένης ἐφίεσθαι προστασίας, μήτε ἀπωθεῖσθαι τὴν διδομένην· τὸ μὲν γὰρ εἶναι θρασέων, τὸ δὲ ἀπειθῶν, καὶ ἀπαιδεύτων ἀμφότερα· καὶ μέσος εἰμί τις τῶν τε ἄγαν τολμηρῶν καὶ τῶν λείαν δειλῶν· τῶν μὲν πάσαις ἐπιπηδώντων δειλότερος, τῶν δὲ φευγόντων πάσας θαῤῥαλεώτερος· Οὕτως ἐγὼ περὶ τούτων γινώσκω! Καὶ ἔτι διελέσθαι σαφέστερον, τῷ μὲν φόβῳ τῆς προστασίας τάχα ἂν βοηθήσειε καὶ ὁ νόμος τῆς εὐπειθείας, τοῦ Θεοῦ τὴν πίστιν ἀμειβομένου, διὰ τῆς ἑαυτοῦ χρηστότητος, καὶ εἰς προστάτην τέλειον καταρτίζοντος, τὸν αὐτῷ θαῤῥήσαντα· καὶ πάσας θέμενον ἐπ' αὐτὸν τὰς ἐλπίδας· τῷ δὲ κινδύνῳ τῆς ἀπειθείας, οὐκ οἶδα τίς ἔσται ὁ βοηθῶν; ἢ τίς ὁ θαῤῥεῖν διακελευόμενος λόγος; Φόβος γὰρ, μὴ τοῦτό γε ἀκούσωμεν, περὶ ὧν ἐπιστεύθημεν, ὅτι τὰς

---

§ 50. 2. Ἀφηνιάζοντι.) Εἰ ἠφήνιαζον. — 3. Εἴτε ἐλαφρόν.) Λέγει γὰρ ὁ Κύριος. Ματθ. Α΄. 30. Ὁ ζυγός μου Χριστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. — 4. Δεινὴ δέ.) Ἀντὶ Δεινὴ γάρ. . . . — 5. Τοῖς σκεύεσιν.) Συναγαγὼν Σαμουὴλ ὁ προφήτης τοὺς Ἑβραίους εἰς Μασηφὰθ, συνήγαγε τὰ σκῆπτρα τῶν φυλῶν, καὶ κλήρων γενομένων τοῦ βασιλεῦσαί τινα, ἔπεσεν ὁ κλῆρος ἐπὶ Σαούλ, καὶ ζητῶν Σαμουὴλ, εὗρεν αὐτὸν ἐν τοῖς σκεύεσι κεκρημμένον· καὶ λαβὼν, κατέστησεν ἔμπροσθεν τοῦ λαοῦ. Βατ. Α΄. ί. 17. . 23.

§ 51. 2. Τοῦ τε κατασπῶντος καὶ τοῦ ἀνάγοντος.) Κατέσπα γὰρ ὁ τοῦ μεγέθους τοῦ πράγματος φόβος· ἀνῆγε δὲ, ὁ τῆς ἀπειθείας. — 3. Διαιτῶ.) Ἐνταῦθα σημαίνει τὸ Διαιρετῶς κρίνω· ὅπερ δοτικῇ συντάσσεται ὁ νοῦς· Ὡς ὀρθῶς καὶ δικαίως κρίνω κατὰ μέρος περὶ ἑκα-

ψυχὰς αὐτῶν[4] ἐκ τῶν χειρῶν ἡμῶν ἐκζητήτω· καὶ καθὼς ἀπώσεσθέ[5] με τοῦ εἶναι εἰς ἡγουμένους τοῦ λαοῦ μου καὶ ἄρχοντας· οὕτω κἀγὼ ἀπώσομαι ὑμᾶς τοῦ εἶναι εἰς βασιλέα· καὶ καθὼς οὐκ εἰσηκούσατε[6] τῆς φωνῆς μου, ἀλλ᾽ ἐδώκατε νῶτον σκληρὸν, καὶ ἠπειθήσατε· οὕτως ἔσται, ὅταν ἐπικαλέσθησέ με· ἐγὼ δὲ οὐκ ἐπιβλέψω ἐπὶ τὴν προσευχὴν ὑμῶν, οὐδ᾽ εἰσακούσομαι. Ταύτας μὴ γένοιτο ἐλθεῖν ἡμῖν παρὰ τοῦ δικαίου κριτοῦ τὰς φωνάς· ᾧ κἂν τὸν ἔλαιον[7] ᾄδωμεν, ἀλλὰ καὶ τὴν κρίσιν γε πάντως συνᾴδωμεν.

§ 52. Ἀλλὰ γὰρ πάλιν ἐπὶ τὴν ἱστορίαν φέρομαι· καὶ τῶν παλαιῶν τοὺς εὐδοκιμωτάτους ἀνασκοπῶν, εὑρίσκω ὅσους πώποτε εἰς ἐπιστασίαν ἢ προφητείαν ἡ χάρις προὐβάλλετο, τοὺς μὲν εἴξαντας προθύμως τῇ κλήσει, τοὺς δὲ ἀναβαλλομένους τὸ χάρισμα, καὶ οὐδετέρων μεμπτὴν,[2] οὔτε τῶν ὑποχωρησάντων τὴν δουλείαν, οὔτε τῶν ὁρμησάντων τὴν προθυμίαν. Οἱ μὲν γὰρ τῆς διακονίας τὸ μέγεθος ηὐλαβήθησαν, οἱ δὲ τῷ καλοῦντι πιστεύσαντες ἠκολούθησαν. Πρόθυμος ἦν Ἀαρὼν,[3] ἀλλὰ Μωσῆς ἀπεμάχετο·[4] ὑπήκουσεν Ἡσαΐας[5] ἑτοίμως, ἀλλ᾽ ἐδεδοίκει τὸν νέον[6] Ἱερεμίας καὶ οὐ πρότερον τὴν προφητείαν ἐθάῤῥησεν, ἢ παρὰ Θεοῦ λαβεῖν καὶ ὑπόσχεσιν καὶ δύναμιν τῆς ἡλικίας κρείττονα. Τούτοις ἐμαυτὸν ἐγὼ κατεπᾴδω τοῖς λογισμοῖς. καί μοι κατὰ μικρὸν εἴκει τε καὶ μαλάσσεται, ὥσπερ σίδηρος, ἡ ψυχή· καὶ συνεργὸν λαμβάνω τῶν λογισμῶν τὸν χρόνον· καὶ συμβουλίαν τὰ τοῦ Θεοῦ δικαιώματα· οἷς πᾶσαν τὴν ἐμαυτοῦ ζωὴν κατεπίστευσα. Διὰ τοῦτο οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω, φησὶν ὁ ἐμὸς δεσπότης, οὐκ ἐπὶ προστασίαν καλούμενος· ἀλλ᾽ ὡς πρόβατον[7] ἐπὶ σφαγὴν ἀγόμενος. Ἀλλὰ καὶ προσπίπτω καὶ ταπεινοῦμαι ὑπὸ τὴν κραταιὰν τοῦ Θεοῦ χεῖρα, καὶ συγγνώμην αἰτοῦμαι τῆς πρὶν ἀργίας καὶ ἀπειθείας· εἴ τι μοι τοῦτο Ἔγκλημα. Ἐσιώπησα μὲν, ἀλλ᾽ οὐκ ἀεὶ σιωπήσομαι· ὑπεχώρησα μέν τοι μικρὸν, ὅσον ἐμαυτὸν ἐπισκέψασθαι, καὶ τῇ λύπῃ δοῦναι παράκλησιν· ἀλλὰ νῦν ὑψοῦν αὐτὸν[8]

---

τέρου τῶν φόβων. — 4. Τὰς ψυχὰς αὐτῶν.) Ἰεζεκ. γ΄. 17. 18. 19. — 5. Καθὼς ἀπώσεσθε.) Βασιλειῶν. Α΄. η, 7. 8. ι, 18. 19. — 6. Καθὼς οὐκ εἰσακούσατε.) Δευτερονομ. λ΄, 20. 21. — 7. Κἂν τὸν ἔλαιον.) Ἐν τοῖς τοῦ Δαβὶδ ψαλμοῖς, λέγοντος· Ἔλαιον καὶ κρίσιν ᾄσομαί σοι Κύριε· ψαλμ. ρ΄. καὶ Ἱερεμ. θ΄. 24.

§ 52. 2. Μεμπτήν.) Πρὸς ἑκάτερον φέρεται καὶ πρὸς Τὴν δειλίαν· καὶ πρὸς Τὴν προθυμίαν. — 3. Πρόθυμος ἦν Ἀαρών.) Εἰπὼν γὰρ ὁ Θεὸς αὐτῷ ἀπελθεῖν εἰς συνάντησιν Μωσέως τοῦ ἀδελφοῦ, εὐθὺς ὑπήκουσεν. Ἔξοδ. δ΄. 2. — 4. Μωσῆς ἀπεμάχετο.) Φανερωθέντος γὰρ τοῦ Θεοῦ πρὸς Μωσῆν, καὶ λέγοντος ἀπελθεῖν εἰς Αἴγυπτον ῥύσασθαι τὸν λαὸν πάσχοντα, ὁ Μωσῆς ἀντέλεγε, καὶ οὐκ ἠβούλετο. Ἔξοδ. γ΄. δ΄. 17. — 5. Ὑπήκουσεν Ἡσαΐας.) Λέγοντος γὰρ τοῦ Κυρίου, Τίνα ἀποστελῶ, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον· Ἡσαΐας εἶπεν· Ἰδοὺ ἐγώ εἰμι ἀπόστειλόν με. Ἡσ. ς΄. 8. — 6. Ἐδεδοίκει τὸν νέον.) Ἐξαποστέλλοντος γὰρ τοῦ Θεοῦ Ἱερεμίαν λαλῆσαι πρὸς τὸν λαὸν αὐτὸς νέος ὢν ἐδεδοίκει, ἕως ὅτου Θεὸς ἐνίσχυσεν αὐτόν. Ἱερεμ. ά. 4.... — 7. Ἀλλ᾽ ὡς πρόβατον.) Ἡσαΐας. νγ΄. 7. — 8. Ὑψοῦν αὐτόν.) Ψαλμ. ρς΄, 32.

*ἐν Ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρωναἰνεῖν ἐδεξάμην· εἰ ἐκεῖνα κατηγορίας, ταῦτα συγγνώμης ἄξια.*

§ 53. Τί δεῖ *μακροτέρων ἡμῖν τῶν λόγων; Ἔχετε ἡμᾶς, ὦ ποιμένες*[2] *καὶ συμποιμένες· Ἔχετε, ὦ ποίμνιον ἱερὸν καὶ Χριστοῦ τοῦ ἀρχιποίμενος ἄξιον. Ἔχεις, ὦ πάτερ, εἰς πάντα νενικημένον, καὶ κατὰ τοὺς τοῦ Χριστοῦ νόμους πλέον, ἢ κατὰ τοὺς ἔξωθεν ὑπεξούσιον· ἔχεις τὴν εὐπείθειαν· ἀπόδος τὴν εὐλογίαν χειραγώγησον καὶ σὺ ταῖς εὐχαῖς, ὁδήγησον τῷ λόγῳ, τῷ πνεύματι στήριξον· Εὐλογία πατρὸς*[3] *στηρίζει οἴκους τέκνων. Καὶ στηριχθείημεν ἐγώ τε καὶ ὁ οἶκος οὗτος, ὃν ᾑρετησάμην, ὅν μοι καὶ γενέσθαι κατάπαυσιν εἰς αἰῶνα εὔχομαι, ἀπὸ τῆς ἐντεῦθεν Ἐκκλησίας ἐπὶ τὴν ἐκεῖσε παραπεμφθέντι, καὶ πανήγυριν πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς. Ἡ μὲν δὴ πρεσβεία τοσαύτη, καὶ οὕτως εὔλογος· ὁ δὲ Θεὸς τῆς εἰρήνης ὁ ποιήσας τὰ ἀμφότερα ἕν,*[4] *καὶ ἀποδοὺς ἡμᾶς ἀλλήλοις, ὁ καθίζων βασιλεῖς ἐπὶ θρόνων, καὶ ἀπὸ γῆς ἐγείρων πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, ὁ ἐκλεξάμενος Δαβὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀναλαβὼν ἐκ τῶν ποιμνίων τῶν προβάτων, ἐλάχιστον ὄντα ἐν τοῖς υἱοῖς Ἰεσσαὶ, καὶ νεώτατον· ὁ διδοὺς ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, πρὸς τὴν τοῦ Εὐαγγελίου τελείωσιν, αὐτὸς κρατήσειε*[5] *τῆς χειρὸς ἡμῶν τῆς δεξιᾶς, καὶ ἐν τῇ βουλῇ αὐτοῦ ὁδηγήσειε, καὶ μετὰ δόξης προσλάβοιτο, ποιμένων ποιμαίνοντας, καὶ ὁδηγῶν ὁδηγοῦντας· ὡς ἂν ποιμαίνοιμεν τὸ ποίμνιον αὐτοῦ μετ' ἐπιστήμης· ἀλλὰ μὴ ἐν σκεύεσι ποιμένος ἀπείρου· τὸ μὲν, ἐν εὐλογίᾳ, τὸ δὲ,*[6] *ἐν κατάρᾳ τοῖς πάλαι κειμενον. Αὐτὸς δοίη*[7] *ἡμῖν δύναμιν, καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ, καὶ παραστήσειεν αὐτὸς ἑαυτῷ λαμπρὰν τὴν ποίμνην· καὶ ἄσπιλον, καὶ τῆς ἄνω μάνδρας ἀξίαν, ἐν τῇ κατοικίᾳ τῶν εὐφραινομένων,*[8] *ἐν τῇ τῶν ἁγίων λαμπρότητι. Ὡς ἂν ἐν τῷ ναῷ αὐτοῦ πάντες λέγωμεν δόξαν, ποίμνη τε ὁμοῦ καὶ ποιμένες ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

§ 53. 2. Ὦ *ποιμένες.*) Ποιμένας λέγει τοὺς Ἐπισκόπους, συμποιμένας τοὺς πρεσβυτέρους· ποίμνιον δὲ τὸν ὀρθόδοξον λαόν. — 3. Εὐλογία πατρός.) Σειράχ. [illegible] ἀμφότερα ἕν.) Παύλ. [illegible] — 5. Αὐτὸς κρατή- [illegible] μετὰ [illegible] πολλῶν, ἢ αὐτὸς ἥκει εἰς χρῆσιν. — 6. Τὸ *μὲν* ... *τὸ δέ.*) Τὸ μὲν ποιμαίνειν τὸ ποίμνιον μετ'. ἐπιστήμης ἐν εὐλογίᾳ ἦν, τὸ δὲ ἐν σκεύεσιν ἀπείρου ποιμένος, ἐν κατάρα ὡς φησιν. ...... — 7. Αὐτὸς δοίη.) Ψαλμ. ξζ΄. 35. — 8. Ἐν τῇ κατοικίᾳ τῶν εὐφραινομένων.) Ψαλ. πς΄. 7.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006